2. ζῇ τὰ σώματα] ὃ μόνον τὰ ὀνόματα. ἀντὶ τοῦ, ὧν ἔνιοι ἔτι καὶ νῦν ζῶσι. τὰ σώματα ἀντὶ ἀνθρώπων ἢ προσώπων saepe graeci ponunt, vt in annotatione περὶ συμμοριῶν. quaedam gentes contra animas pro hominibus et iumentis vſurpant. WOLFIVS.

δαιμονίων τῆς Καδμείας, βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις, ἠλευθέρωσαν πόλιν ἀσυγκρίτονα, καὶ πολὺν χρόνον δου-
12. λεύσαν· οἱ δὲ [3] πείσαντες ἐξελθεῖν ὑμῶν τὰς προγόνας, Κεφάλᾳ τάδε [4] ψήφισμα γράψαντος, ὃς ἐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογισάμενος, ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν [5] ὑπὲρ
15. τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖ τῶν ἡμετέρων πατέρων, ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθερώθη Θηβαῖοι· διεπέ-
18. πρακτο ἡ πόλις ἡ ἡμετέρα ἄξια τῶν προγόνων.

3. οἱ δὲ] tacite a communi repete *liberarunt Thebas.*

4. Κεφάλᾳ τάδε] Caue, ne te pronomen hoc in errorem inducat, vt existimes Cephalum adhucdum in viuis superfuisse. Dudum ante excesserat. Nil aliud hoc τάδε valet, atque Latinorum *illius*, quum clarum aliquem et nobilem virum, nemini non notum, significare volunt.

5. ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν] F. ὅτι καὶ τὸ γράφειν, omissis τὸ κινδυνεύειν. Nisi forte leg. sit ὅτι οὐ μόνον τὸ κινδυνεύειν, ἀλλὰ καὶ τὸ γράφειν. WOLFIVS. Poterat illa opera supersedere. Bene habet vulgata. Cephalus non hoc reputabat, quam et sibi, auctori sententiae, periculosum sit, populo suo eiusmodi consiliorum auctor fieri, et populo, cui ista suaderentur, ea consilia exsequi, cum discrimine fortunarum suarum, et molestiis infinitis, quas haberent corporibus suis tolerandas.

ἐκεῖνοι ἦσαν, ἐκεῖνοι (ὦ Ἀθηναῖοι) ἄξιοι σύμβουλοι καὶ ἡγεμόνες ὑμῶν καὶ τῷ δήμῳ· μὰ Δί᾽ οὐ τὰ τοιαῦτα κινάδη, οἱ πεποιήκασι [6] μὲν οὐδὲν οὐδὲ πράξεσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὑτῶν ἀσφάλειαν τηροῦντες, καὶ πάντοθεν ἀργυριζόμενοι, καὶ 21.
πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν [7], καὶ νῦν εἰλημμένοι δῶρα καθ᾽ ὑμῶν εἰληφότες [8], παρακρούονται ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι, περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν [9]. ὃς χρὴ τεθνᾶ-

6. τοιαῦτα κινάδη, οἱ πεποιήκασι] τὸ κίναδος ἀδετέρως. Aut igitur conſtructio refertur ad ſenſum, aut leg. eſt ἃ πεπ. WOLFIVS. Prius verius. Poſterius et inſolens foret, et inſequentia ἀργυριζόμενοι atque πεποιηκότες cum ἃ minus conuenirent.

7. ἑαυτῶν] malim ἑαυτῆς. vt ad τὴν πόλιν redeat.

8. εἰλημμένοι δῶρα κ. ὑ. εἰληφότες] Φωραθέντες, ὅτι δῶρα εἰλήφεσαν. WOLFIVS.

9. περὶ τῆς ἑαυτῶν πλεονεξίας παραγγέλλειν] Ad hunc locum Wolfius annotatum reliquit nihil. Quid ſpectans ita verterit, *auariciam ſuam ſibi laudi ac praeſidio eſſe oportere*, haud exputo, niſi ſi diuinando magis ſententiam, quam certa ratione vertit. Canterus ita reddidit *ſuam volunt oſtentare praeſtantiam*. Ergo idem vocabulum πλεονεξίαν ille *auaritiam*, hic *praeſtantiam* reddit, ambo in παραγγέλλειν laborantes, et coniecturam ſequentes. Mihi fateor etiam aquam hic haerere. παραγγέλλειν eſt *indicere*, *imperare*, *poſtulare*. Ergone deeſt hic aliquid, e. c. ὑμᾶς συγγνώμην ἔχειν. *aequum cenſent*, *ſe poſtulare*, *vt vos ſibi auaritiae ſuae veniam habeatis*. Videtur tamen magis conſentaneum, pro παραγγέλλειν tantummodo legi παραμελεῖν. vos auaritiam ſuam diſſimulatione atque ob-

24. τεθνᾶναι κατὰ τὸ ἑαυτῶν ψήφισμα πάλαι, τοιαῦτα διαπεπραγμένος. ἐκ αἰσχύνεσθε, ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μόνον ἡγέμενοι δεῖν κρίνειν; ἐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα, καὶ κλέπτην καὶ προ-
27. δότην Φίλων, καὶ τῆς πόλεως ἀνάξιον; καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον [10] τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων ἔτος ἢ ποίων νόμων ἐκ εἴληφεν ἀργύριον; εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γεγενημένων, ὃς ἔτος ἐτίθει τὸν πε-
30. ρὶ τριηράρχων νόμον [11]; ἀφράσετε τοῖς πλησίον, ὅτι τρία τάλαντα λαβὼν, μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν; καὶ τὰ μὲν ἐπώλει [12], ὧν εἴληφει τὴν τιμὴν, τὰ δ' ἀποδόμενος ἐκ ἐβεβαίᾳ; εἶπατέ μοι πρὸς Διὸς, ὦ ἄνδρες,
33. προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν Πρυτανείῳ σίτησιν, καὶ τὴν εἰς τὴν ἀγορὰν ἀναθησομένην [13] εἰκόνα; ἢ τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαι-

liuione et silentio *transmittere*, nil eam curantes, nil in eam inquirentes.

10. περὶ τοῦτο] Aut παρὰ τοῦτο, aut, quod malim, τὴν περὶ τοῦτον. id est τὴν τοῦτο τύχην. WOLFIVS. quod probaui.

11. νόμον] post hoc vocabulum punctum, quod est in Aldi et Stephani editionibus, signo interrogandi mutandum esse, admonet in margine Stephanos; quod feci.

12. ἐπώλει] πλέον ἄρα ἢ παλιγκάπηλος ἐγένετο, si pretio fixit leges, pretioque refixit. WOLFIVS.

13. ἀναθησομένην] malim ἀνατεθησομένην.

ρέΦιλον καὶ Φείδωνα καὶ ΠάμΦιλον καὶ Φίλιππον· καὶ πάλιν Ἐπιγένη καὶ Κόνωνα, τὸς τραπεζίτας; ἢ τὸ χαλκῆς ἐν ἀγορᾷ καταςῆσαι [14] Βηρισάδην καὶ 36.
Σάτυρον καὶ Γόργιππον, τὸς ἐχθίςους τυράννους; παρ' ὧν αὐτῷ χίλιοι μόδιοι [15] τῆ ἐνιαυτῆ πυρῶν ἀποςέλλονται τῷ ὀδ' ὅπη καταΦύγῃ αὐτίκα Φήσοντι εἶναι [16]; ἢ τὸ γράψαι Ταυροσθένην [17] Ἀθηναῖον εἶναι, τὸς μὲν αὐτῷ [18] πολίτας καταδηλωσάμενον, 39.
τῆς δ' Εὐβοίας ὅλης μετὰ τῆ ἀδελΦῆ Καλλίᾳ προδότην Φιλίππῳ γεγενημένον; ὃν ἐκ ἐᾶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν· εἰ δὲ μὴ, τοῖς αὐτοῖς ἔνοχον εἶναι κελεύσιν, οἵσπερ ἄν τις τῶν Φευγόντων ἐξ Ἀρείᾳ πάγῳ κατίῃ. καὶ τῆτον ἔτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πολίτην εἶναι. περὶ τέτων ἔν μάρτυρας ὑμῖν δεῖ καλεῖν. ἢ περὶ τῶν ἄλλων, ὅσους ἔτος γέγραΦε προξένους εἶναι καὶ Ἀθηναίους; πρὸς τῆς Ἀθηνᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαίρειν 96. 1.
λαμ-

14. καταςῆσαι] poteſt ferri et defendi, ſubaudiendo ὑμᾶς. hoc, *quod vos eos collocaueritis aeneos.* malim tamen καταςῆναι. *quod ſtent in foro aenei.*

15. μόδιοι] mirans quidem vocabuli latini in ſcriptore graeco tam vetuſto inſolentiam, damnare non audeo, tametſi meminerim, Athenienſes, non modiis, ſed medimnis, vſos fuiſſe.

16. εἶναι] ſubaudi ἑαυτῷ. Alias melius conueniret ἔχειν.

17. Ταυροσθένην] De Tauroſthene vide Aeſchinem κ. Κτησ. WOLFIVS.

18. αὐτῷ] Wolf mauult αὐτῆ. planius id vtique et vſitatius, poſſe tamen vulgata videtur vtcunque ferri.

λαμβάνοντα, χρυσίᾳ δ' εἴκοσι τάλαντα ἐκ ἂν λαβεῖν; ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ Ἀρείᾳ
3. πάγῳ βουλὴν Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα [18] ζητήσασαν ἓξ μῆνας, ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις; πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων (ὅπερ
6. καὶ πρότερον εἶπον) θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα· καὶ πότερον εἰσαγωγίμους [19] καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσαι δῶρα λαμβάνειν καθ' ὑμῶν· καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι, νῦν ἄπιστα διὰ τὴν
9. Δημοσθένους κρίσιν γενήσεται· ὃν ἐκ τῶν ἄλλων [20] προσῆκεν ἀπολωλέναι τῶν πεπολιτευμένων αὐτῷ· ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν τῇ πόλει γενομέναις ἔνοχος καθέστηκεν, ἐπιωρκηκὼς μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ, καὶ τοὺς ἄλλους θεούς, οὓς
12. ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι· κατάρατος δὲ καθ' ἑκάστην ἐκκλησίαν γενόμενος, ἐξεληλεγμένος δῶρα

18. b. Κηφισοφῶντα] sic corrigunt Wolf et Stephanus Aldinae vitiosum κηφισοῶντα.

19. εἰσαγωγίμους] ἀντὶ, τοῦ ὑποδίκους καὶ ὑπευθύνους. alias εἰσαγώγιμος δίκη vsitate dicitur, et τὰ εἰσαγώγιμα καὶ ἐξαγώγιμα de mercibus. WOLFIVS.

20. ἐκ τῶν ἄλλων] Planius vtique dixisset, ὃν, εἰ καὶ μὴ ἐκ ταύτης τῆς κατηγορίας, ἔκ γε τῶν — *etiamsi huius esset insons criminis, cuius nunc reus agitur, reliquis certe suis in republica moribus atque ausis vltimum meruit supplicium.*

κατὰ τῆς πόλεως εἰληφὼς [21], ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν [22]. καὶ ἕ-
τερα μὲν λέγων ἕτερα δὲ φρονῶν· ἰδίᾳ δὲ συμβε- 15.
βουλευκὼς Ἀρισάρχῳ δεινὰς καὶ παρανόμους συμ-
βολὰς, αὖθις [23] (εἴπερ ἐξί πε δικαία τιμωρία κα-
τὰ τῶν ἐπιόρκων καὶ πονηρῶν, ὥσπερ ἐξί) δώσει δί-
κην ὅτος, ἐν δὲ τῇ τήμερον ἡμέρᾳ [24]. ἀκούσατε, ἄν-
δρες δικασαὶ, τὰς ἀράς. ΑΡΑ. Ἀλλ' ὅμως, ἄν- 18.
δρες δικασαὶ, ἅτω Δημοσθένης τῷ ψεύδεσθαι [25]
καὶ

21. εἰληφὼς] sic corrigunt Wolf et Stephanus vitiosum Aldinae εἰκηφὼς.

22. παρὰ τὴν ἀράν] τῆς ἀρᾶς κωλυούσης. WOLF.

23. αὖθις] F. ἀκ αὖθις. τουτέστιν ὕστερον μετὰ ταῦτα. Sequitur enim ἐν δὲ τῇ τήμερον ἡμέρᾳ. WOLF. Recte Wolf, et melius, quam Stephanus in annotatione statim insecutura. Deest tamen adhuc ὧν et ἐς. ad hunc modum. — συμβολὰς. ὧν ἀκ ἐς αὖθις — *quorum suorum scelerum* [redit enim ὧν non ad proximum συμβολὰς, sed ad remotius τὰ Δημοσθένει πεπολιτευμένα, omnia Demosthenis in republica commissa furta et latrocinia] *non postmodum dabit Demosthenes poenas, sed hac ipsa die hodierna.* Possit quoque ἀκ et ἐς omitti, modo ὧν teneatur. *quorum postmodum poenas dabit.* Sed tum punctum post ἡμέρᾳ erit omittendum. *Hoc autem die audite Diras.* Verum multo hoc mihi quidem accidit coactius.

24. ἐν δὲ τῇ τήμερον ἡμέρᾳ] πότερον, ἐν τῇδε τῇ τήμερον ἡμέρᾳ. ἢ ἐν τῇ τήμερον ἡμ. ἅτω γὰρ ἐν τοῖς ἑξῆς. ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε. STEPHANVS.

25. τῷ ψεύδεσθαι] sic corrigunt Scaliger, Wolf et Stephanus vitiosum Aldinae τὸ ψ. et proximo versu 20. μέλει (vno λ) pro μέλλει Ald.

καὶ μηδὲν ὑγιὲς λέγειν, ἕτοιμος χρῆται· καὶ ἔστε αἰσχύνης, ἔστε ἐλέγχε, ἔστε ἀρᾶς ἐδὲν αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ τολμῆσαι [26] λέγειν, (ὡς
21. ἀκέω) ὡς ἄρα κἀμοῦ κατέγνω πρότερον ἡ βελή· καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς ἔτός φησι· πρότερον μὲν ἐναντίον τῇ τῆς βελῆς ἀποφάσει ἀγῶνα ἀπολογέμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν αὐτῇ, κατηγορῶν τότε περὶ τῆς γεγενημένης ἀποφάσεως·
24. πρᾶγμα κατασκευάζων [27] ἐγεγενημένον, ἀλλὰ ψεύδεσθαι πρός τινας τολμῶν. Ἵν' ἔν ἐὰν ἐπὶ τοῦτον ἴῃ [28] τὸν λόγον, μὴ ἐπιτρέπητε αὐτῷ, ἀλλ' εἰδῆτε ἀκριβῶς, ὅτι ἔτ' ἐμὲ ἀπέφηνεν ἡ βελή, ἔτ' ἐμέλησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπε [29] πονηροῦ, καὶ δίκην δε-
27. δωκότος παρ' ὑμῖν, ἀκέσατέ με βραχέα. ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιεῖται. ἀνάγκη τὴν βελήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείε πάγε κατὰ δύο τρόπες ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. τίνας τότες; ἤτοι
30. αὐτὴν προελομένην καὶ ζητήσασαν [30], ἢ τοῦ δήμου

26. τολμῆσαι] in se malum et inconueniens hoc non est, verum insequens κατασκευάζων versu 24. necessarium reddit, vt legatur ἐτόλμησε.

27. κατασκευάζων] in quo Demosthenes rem comminiscitur falsam, ementitam, quae nunquam euenit, eamque speciosis argumentorum offuciis exornat.

28. ἴῃ] sic corrigunt Wolf et Steph. Aldinae vitiosum εἴῃ.

29. ὑφ' ἑνὸς ἀνθρώπε] Pistia. v. vers. vlt.

30. προελομένην καὶ ζητήσασαν] tollendum videtur hoc καὶ. dictio προελομένην ζητήσασαν idem est atque ἐκ τῆς αὐτῶν προαιρέσεως ζητήσασαν. aut ζητήσασαν

προστάξαντος αὐτῇ. χωρὶς τούτων ἐκ ἔστιν ὅντινα τρόπον ποιήσειεν. εἰ μὲν τοίνυν φῄς, ὦ μιαρὸν σὺ θηρίον, τῷ δήμῳ προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα, καὶ τίνες ἐγένοντό μου κατήγοροι, γενομέ- 33.
νης τῆς ἀποφάσεως, ὥσπερ νῦν [31] ἀμφότερα γέγονε, καὶ ψήφισμα, καθ' ὃ ἐζήτησεν ἡ βουλὴ, καὶ κατήγοροι, χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν [32] νῦν οἱ δικασταὶ τὰ δικήματα πυνθάνονται. κἂν ἦ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι· εἰ δ' αὐτὴν 36.
προελομένην ἀποφῆναί με φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι, ὅτι οὐκ ἐφάνθην [33]. καταψευσάμενον [34] μέντοι κἀμοῦ καὶ διὰ vel μετὰ τὸ προελέσθαι αὐτὴν ζητεῖν, verbo αὐθαιρέτως ζητήσασαν.

31. ὥσπερ νῦν] fero. *nunc*, h. e. in cauſa tua. malim tamen, vt tanto clarior ſit atque manifeſtior inter Demoſthenem et Dinarchum oppoſitio, ὡς περὶ σοῦ (vel σε) νῦν. *vt nunc de* vel *ſuper te*, in cauſa tua, vtrumque euenit.

32. περὶ ὧν] dedi παρ' ὧν, auctore Wolfio, ſed rei veritate et neceſſitate magis.

33. ἐφάνθην] Imo vero ἀπεφάνθην. De ſenatu, qui ex delegatione populi rem inquiſiuit, de ea ad populum refert, et reum a ſe aut ſontem, aut inſontem renunciat, non φαίνειν, quod delatoris eſt, ſed ἀποφαίνειν, neque φάνσιν, ſed ἀπόφανσιν ποιεῖσθαι, vſurpatur.

34. καταψηφισάμενον] dedi καταψευσάμ. ſecundum Wolfium *hominem malum, qui, vt tu feciſti, et de me, et de Senatu mendacia commentus prodiderat.*

καὶ τῆς βελῆς, ὥσπερ σὺ[35], καὶ πονηρὸν προδότην
39. εἰσαγγείλας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις τῶν
πολιτῶν, ὅτι μισθώσας αὐτὸν Τιμοκλεῖ κατ' ἐμοῦ
ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικα-
σάντων. λάβε μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρό-
τερον παρεσχόμην μαρτυρεμένην τοῖς δικασταῖς·
42. καὶ ἀδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ ἔσῃ, ἣν[36] καὶ νῦν
παρέξομαι[37]. λέγε τὴν μαρτυρίαν. ΜΑΡΤΥ-
ΡΙΑ. Εἶτ' ἀ δεινὸν, ὦ Ἀθηναῖοι, εἰ, ὅτι μὲν εἷς
ἀνὴρ[38] ἔφησε, Πισίας, Ἀρεοπαγίτης ὤν, ἀδικεῖν με,
κατα-

35. ὥσπερ σὺ] scil. κατεψεύσω κἀμὲ καὶ τῆς βελῆς. Visum tamen aliquando deesse vocabulum μιαρὸν, vt sic legatur — βελῆς, μιαρὸν, ὥσπερ σὺ, καὶ πονηρὸν πρ. *impurum, vt tu es, et malum* (perditum) *proditorem.*

36. ἣν delendum videtur. quod testimonium *et ante* exhibui, *et nunc exhibeo.*

37. παρέξομαι] malim παρέχομαι. non enim promittit exhibiturum, sed iam exhibet.

38. εἷς ἀνὴρ] Verum hic cogita, si Timocles homo priuatus vnum Areopagitam corrumpere potuit, an non Macedones et Macedonici proditores totum senatum corrumpere potuerint graecae nationis, quae nunquam, vti ait Cicero, iurisiurandi religionem coluit. WOLFIVS. Demosthenis sui nusquam non studiosus est bonus Wolfius. Argumentum Dinarchi, sic satis speciosum, infringit alio suo, non minus probabili, neque minus acute excogitato. Facile, ait, fieri potuit, vt, quamuis totus Senatus Areopagiticus Demosthenem largitionum et peculatus insimularet, nihilo tamen minus mentiretur. Potuerunt enim illi senatores omnes a Macedonibus et partium Macedoni-

καταψευδόμενος κἀμοῦ καὶ τῆς βουλῆς, ἴσχυσεν 97. 1.
ἂν [39] τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν
ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν, ἐπι-
ξευθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί.
ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πά- 3.
γου βουλῆς ὁμολογεῖται, Δημοσθένην εἰληφέναι εἴ-
κοσι τάλαντα χρυσίου καθ' ὑμῶν, καὶ ταῦτα πε-
ποινκότα ἀδικεῖν· καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς
ἐλπίδας ἔχουσί τινες, ἐπαυτοφώρῳ χρήματα λαμ-
βάνων εἴληπται, νῦν τὰ νόμιμα τἀκεῖθεν, καὶ τὰ 6.
δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γενήσεται τῶν Δη-
μοσθένους λόγων; καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθεί-
ας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου δια-
βολή [40]. ὡς ἄρα πολλοῦ ἡ βουλὴ ἀποπέφαγκεν ἀδι- 9.
κεῖν τὸν δῆμον, οἳ ἀποπεφεύγασιν εἰσελθόντες εἰς
τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον
μέρος ἐμετείληφε τῶν ψήφων; τοῦτο δὲ ὃν τρόπον
γίνεται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. ἡ βουλή, ὦ
ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ τὰ 12.
γεγε-

carum ſtudioſis emti atque ſubornati fuiſſe, vt bonum Demoſthenem, virum caſtiſſimum atque ſanctiſſimum, turpiſſima criminatione obruerent, nullam aliam rationem inuenientes eum de medio tollendi, quem capitali odio perſequerentur. De Piſtia v. quae collegit Valeſius ad Harpocr. p. 32.

39. ἴσχυσεν ἂν] ὑποθετικῶς καὶ ἐλλειπτικῶς, εἰ μὴ ἄρα ἐξήλεγξα ψευσάμενον τὸν Πειθίαν, ἄπιστον καὶ ψευδομάρτυρα γενόμενον. WOLFIVS.

40. Signum interrogandi, quod pone διαβολὴ eſt, ſemicolo mutaui, quod eſt in Wolfiana.

γεγενημένα [41] παρ' αὐτοῖς [42] ἀδικήματα, ἐχ ὡς ὑμεῖς (καί μοι μὴ ὀργισθῆτε) δικάζειν ἐνίοτε εἴθισθε, τῇ γνώμῃ [43] πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες· ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητεμένοις [44], καὶ τὸν 15. ὁποιονῦν [45] ἠδικηκότα τὰ πάτρια· νομίζσα [46] τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων εὐχερέστερον προσδέξασθαι

41. γεγενημένα] id est κεκριμένα, vel εὑρημένα, vel ἐγνωσμένα. deprehensa, noscitata. dictio τὸ γιγνόμενον significat id, quod necessario ex altera quapiam re exsistit, vt effectum e causa, petita ex Arithmetica, vbi summa vniuersa numerorum omnium e singulis particularibus summis collectis exsistens est τὸ γιγνόμενον.

42. παρ' αὐτοῖς] F. παρ' αὐτῇ. WOLFIVS. ad βελὴ referens. Sed bene habet vulgata, referenda ad sententiam, apud se, Areopagitas puta. v. versu 16.

43. τῇ γνώμῃ] F. τῇ συγγνώμῃ. WOLFIVS. Fui egometipse quoque olim eadem in sententia, motus locis similibus. v. versus 22, 35. et 39. Sed bene vulgata aut habet h. l. aut habere potest. γνώμη est voluntas, studium alicuius in aliquem, animi propensio.

44. Post ζητεμένοις deesse ἀποφαίνει bene annotauit Wolfius, nisi malis κολάζει, quod ex eo colligo, quod pro proximo νομίζσα dat Aldina κομίζσα.

45. ὁποιονῦν] F. ὁποιωσῦν. WOLFIVS. nulla necessitate. bene habet vulgata.

46. νομίζσα] sic corrigunt Wolf et Stephanus Aldinae vitiosum κομίζσα. Forte fuit in antiquis libris sic: τὸν ἔνοχον ὄντα τοῖς ζητεμένοις καὶ τὸν ὁποιονῦν τι ἠδικηκότα κατὰ τὰ πάτρια κολάζει, νομίζουσα — v. p. 98.

σθαι 47. διόπερ τὸν παρ' αὐτῶν 48 ἀποχειρήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα, πρὸς ὑμᾶς ἀπέφηνε. πάλιν τὸν τὴν πεντεδραχμίαν 49 ἐπὶ τῷ 18. τὸ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε· καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀ- 21 ρείου πάγου τολμήσαντα ἀποδόσθαι, τὰ νόμιμα 50

τὸν

47. προσδέξασθαι] πότερον προσδέξεσθαι. STEPHANVS. Ne hic quidem loci est, quod nos a vulgata discedere cogat. Aoristus saepissime futuri vices gerit.

48. τὸν παρ' αὐτῶν] τὸ παρ' αὐτῶν fortasse redundat. Me certe quid ad sensum faciat non intelligere fateor. nisi forte naulum ab Areopagitis datum ille retinuerit. WOLFIVS. Sententia plana est paulum modo animum attendenti. Senatus areopagiticus aliquem e collegio suo mulctauerat, qui vecturam nauicularío debitam negasset. Ipse Wolf hoc vidit, et recte in latinis reddidit.

49. τὴν πεντεδραχμίαν et vers. 19. τὴν μερίδα] Historias hic desidero et instituta attica. WOLFIVS.

50. ἀποδόσθαι, τὰ νόμιμα] F. ἀπ. παρὰ τὰ νόμ. WOLFIVS. Errat bonus Wolfius. παρά, quod intrudit, alienum est. τὰ νόμιμα cohaeret cum ζημιώσασα. ζημιῶν τινα τὰ νόμιμα est mulctare aliquem solenni modo et ritu. Subauditur κατά. Dicasteria Athenis mulctarum, quas infligere liceret ipsis, certos habebant modos et ritus, quos haud liceret excedere. Pluris si aestimaretur crimen, debebat ea res ad populum referri, qui mulctam aut poenam maiorem reo infligeret, praeter illam mulctam legitimam a tribunali antea inflictam. Res e Demosthenis locis compluribus nota.

τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. τότες ὑμεῖς
21. κρίναντες ἀφήκατε, ἃ τῆς ἐξ Ἀρείᾳ πάγῳ βελῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγε-
24. νημένης ἁμαρτίας. ἦπε ἄρα ἡ βελὴ, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; ἃ δῆπε. τότες μέντοι, ὦ ἄνδρες, καὶ τοιότες ἑτέρες ἀδικεῖν παρ' ἑαυτῆς [51] ἀποφηνάσης τῆς βελῆς, ὑμεῖς ἀφήκατε. Πολύευκτον [52] δὲ τὸν Κυδαντίδην τὲ δήμε προστάξαντος
27. ζητῆσαι τὴν βελὴν, εἰ συνεισέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βελὴ συνιέναι. κατηγόρες εἵλεσθε κατὰ τὲς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον· ἀπε-
λύσαθ' ὑμεῖς, ὁμολογέντος Πολυεύκτε βαδίζειν
30. εἰς Μέγαρα ὡς τὸν Νικοφάνην. ἔχειν γὰρ τὴν αὐτῆ μητέρα τῆτον. ἐδὲν ἦν ἄτοπον ἐδὲ δεινὸν ἐφαίνετο ποιεῖν ὑμῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι, καὶ συνευπορῶν, καθόσον δυνατὸς ἦν, ἀπεζερημένῳ τῆς πατρίδος. αὕτη, Δημόσθενες,
33. τῆς βελῆς ἡ ἀπόφασις ἐκ ἐξηλέγχθη ψευδὴς ἔσα· ἀληθι-

51. παρ' ἑαυτῆς] malim παρ' ἑαυτῇ *in iudicio suo.* crebra ista sunt ἐν vel παρ' ὑμῖν ἀπέφυγε vel ἑαλω. ἀδικεῖ τις παρ' ἐμοὶ significat, penes me aliquis delinquit, h. e. ego censeo eum delinquere, mihi videtur in culpa esse, παρ' ἐμοὶ κριτῇ ἐστιν ἄδικος.

52. Πολύευκτον] hic est ille Polyeuctus Cydantides, aduersus quem orationem scripsit Hyperides, laudatam ab Harpocratione v. Κυδαντίδης.

ἀληθινῆς δὲ αὐτῆς ἔσης, ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον. τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν· τὸ δὲ συγγνώμης ἄξιον, * ἢ μή, τὸ δικαστήριον [53] ἔκρινε. διὰ τοῦτο δὲ πιστευτέον τῇ βουλῇ περὶ τῶν γινομένων ἀποφάσεων, ἐπειδή σε καὶ 36.
τὰς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ' ἂν εἴη. δεῖξον γὰρ τοῖς δικασταῖς σὺ Δημόσθενες τὰ νυνὶ, ὡς τούτων τι τῶν ἡμαρτηκότων ὁμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι. καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον· 39.
ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις [54] εἰκότως. ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ὀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν [55] κελεύουσι· περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης 42.
τυχὼν τῆς ζημίας ὁ λαβὼν, παράδειγμα γένηται τοῖς ἄλλοις· ἢ δεκαπλῶν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων· ἵνα μὴ λυσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν. ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν·

53. ἄξιον, φημὶ τὸ δικαστήριον] sic dant editiones omnes. Ego de meo dedi ἄξιον, ἢ μὴ, τὸ δ. *quid autem venia dignum esset, quid minus, de hoc iudicium publicum populi statuebat.*

54. παρὰ τούτοις] apud hos iudices, in hoc iudicio, in quo populus ipse per D. viros, aut per M. aut MD. causam hanc disceptat.

55. ὀφείλειν] sic corrigunt Scaliger, Wolf, Stephanus vitiosum Aldinae ὀφειλὴν.

λέγειν· ὅτι δὲ τῶν * πρότερον [56] ἀποφανθέντων ὑπὸ τῆς βελῆς, τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν [57] εἶναι τὴν τῆς βελῆς ζήτησιν, σοὶ
3. δὲ μόνῳ τὰ περὶ αὐτῆς [58] ἠναντιῶσθαι. ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σεαυτῷ τέτες κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σαυτῦ τὸ ψήφισμα· καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὁμολογεμένων [59], ὁρισάμενος

56. προτέρων] dedi de meo πρότερον. poſtmodum vidi Scaligerum quoque ſic emendaſſe.

57. ἀξίαν] F. ἀληθῆ, aut ἀποδοχῆς ἀξίαν. aut potius ἀξιόπιστον. WOLFIVS. Bene habet vulgata. ἄξιος h. l. eſt aut magnifaciendum, in honore habendum, aut, iſta tribunalis ſanctiſſimi ſeueritate famaque dignum.

58. τὰ περὶ αὐτῆς] F. τοῖς παρ' αὐτῆς. Conſtructio haec eſt. σοὶ δὲ μόνῳ συμβέβηκεν ὥστε ἠναντιῶθης. σὺ μόνος ἐτύγχανες ἐναντιούμενος τοῖς παρ' αὐτῆς, ſcil. ἀποπεφασμένοις. WOLFIVS. De παρ' αὐτῆς recte monet. Sic enim leg. eſt, et ſic emendaui, in reliquis aberrat a vero. Sententia haec eſt. Licetne hoc excuſare, quod, cum reliqui omnes, huius tribunalis ſententia perculſi, in auctoritate eius acquieuerint, tu vnus auctoritatem eius detrectaueris? Neutiquam. Imo vero tu vnus omnium maxime auctoritati Senatus Areopagitici praedicandae et confirmandae ſtuduiſti, ipſumque temet tuasque fortunas ei permiſiſti. Paulo quidem inuolutius prodidit Dinarchus h. l. animi ſui ſenſa, haec tamen illa eſſe, quae dixi, ex vniuerſo loci ſtatu apparet.

59. ὡμολογεμένων] aut ὡμολογημένων, aut ὁμολογεμένων leg. eſſe pronuntiat H. Stephanus in mar-

μενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ 6.
ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν
χώραν ὑπὸ Ἁρπάλου κομισθέντων. ἀλλὰ μὴν πρό-
τερον ἔγραψας σὺ, ὦ Δημόσθενες, κατὰ πάντων τού-
των καὶ τῶν ἄλλων Ἀθηναίων, κυρίαν εἶναι τὴν ἐξ
Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους 9.
πλημμελοῦντα, χρωμένην τοῖς πατρῴοις [60] νόμοις·
καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπα-
σαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι·
καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολι- 12.
τῶν, πατὴρ καὶ υἱὸς, παραδοθέντες τῷ ἐπὶ τῷ ὀ-
ρύγματι [61]· ἐδέθη τῶν ἀφ' Ἁρμοδίου γεγονότων
εἷς [62] κατὰ τὸ σὸν πρόσταγμα· ἐσρέβλωσαν Ἀντι-
φῶντα καὶ ἀπέκτειναν ἕτοι, τῇ τῆς βουλῆς ἀπο-
φάσει πεισθέντες· ἐξέβαλες σὺ Ἀρχῖνον ἐκ τῆς πό- 15.
λεως ἐπὶ προδοσίᾳ, κατὰ τὰς τῆς βουλῆς ἀποφά-

σεις

gine. prius etiam Wolf coniiciebat, ego posterius praetuli.

60. πατρῴοις] F. πατρίοις. Saepe enim haec inter se permutantur. WOLFIVS. procul dubio recte coniecit. Saepe autem ista duo inter se permutari, haud memini.

61. τῷ ἐπὶ τῷ ὀρύγματι] scil. ὄντι, ἴσως τῷ ἐπὶ τῷ βαράθρῳ, τῷ δημίῳ. WOLFIVS.

62. τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς] est Antipho, qui statim post nominatur. tu iubebas Antiphontem, ab Harmodio genus ducentem, in vincula dari. vinctum Areopagitae tormentis subiiciebant, et post, ab Areopagitis reum declaratum, populus occidi iussit.

σεις καὶ τιμωρίας [63]. κατὰ δὲ σαυτῦ, καὶ ταῦτα γράψας αὐτὸς [64], τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστι; μαρτύρομαι [65] τὰς σε-
18. μνὰς θεὰς, ἄνδρες Ἀθηναῖοι, καὶ τὸν τόπον, ὃν ἐκεῖναι κατέχουσι, καὶ τὰς ἥρωας τὰς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν πολίτιδα [66], καὶ τὰς ἄλλους θεὰς, οἳ τὴν χώραν καὶ τὴν πόλιν ἡμῶν εἰλήχασιν, ὅτι τῷ δήμῳ παραδεδωκότος ὑμῖν ἐκ ἐτιμωρή-
21. σασθε τὸν εἰληφότα τι κατὰ τῆς πατρίδος, τὸν

63. καὶ τιμωρίας] aut excidit aliquid, aut leguntur haec loco alieno, non suo. Prius si sit, integrari possit locus sic ferme: καὶ ἄλλοι πολλοὶ τὰς αἰσχίστας ὑπέμειναν διά σε τιμωρίας. *aliique multi propter te*, h. e. propter illas tuas magnificas et insolentes adeo de Areopagitici senatus auctoritate atque sanctitate praedicationes *supplicia tolerarunt turpissima*. Sin posterius malis, colloca ista duo vocabula pone σαυτῦ. ad hunc modum. κατὰ δὲ σαυτῦ τὰς τιμωρίας (καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα) ἀκυροῖς. Contra temet ipsum autem ratas poenas irritas facis, tu, qui ipse decreti fueris auctor, quo decreto senatui Areopagitico mandatur prouincia in te inquirendi, potestasque datur de te pronuntiandi, atque ad populum referendi.

64. γράψας ὁ αὐτὸς] articulum arbitratu meo sustuli.

65. μαρτύρομαι] malim μαρτυρῶμαι, quia de re futura ὑποθετικῶς loquitur. WOLFIVS. Fallitur. Non dicitur μαρτυρεῖσθαί τινα, sed μαρτύρεσθαι, pro *obtestari*, *contestari fidem alicuius*.

66. πολίτιδα] malim πολιάδα, quae πολιοῦχος alias dicitur. WOLFIVS. Recte. πολίτις est *ciuis* foemina, quod de Dea non vsurpatum est.

λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐ-
δαιμονίαν, τὸν περικεχαρακωμένην παραδεδωκότα
τὴν πατρίδα ταῖς αὐτοῦ συμβουλίαις· ὃν οἱ μὲν
ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, 24.
συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι· ὅσοι δὲ εὖνοι
τοῖς ἡμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς
τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως
πράγματα ἐλθεῖν, τὴν ἀξίαν δίκην δόντα τῶν πε-
πραγμένων ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔ- 27.
χονται τοῖς θεοῖς. ἃς κἀγὼ συμπαρακαλῶ σῶσαι
τὴν πατρίδα, κινδυνεύουσαν ὑπὲρ σωτηρίας, ὑ-
πὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν
ἄλλων ἀγαθῶν ἁπάντων. τί γὰρ ἐρῶμεν, ὦ Ἀθη-
ναῖοι, πρὸς τοὺς περιεστηκότας, ἐξελθόντες ἐκ τοῦ 30.
δικαστηρίου, ἐὰν (ὃ μὴ γένοιτο) παρακρουσθῆτε ὑπὸ
τῆς τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν
τὴν πατρῴαν ἑστίαν οἰκαδε ἀπελθὼν ἰδεῖν τολμή-
σειεν, ἀπολελυκότες μὲν τὸν προδότην τὸν πρῶτον 33.
εἰς τὸν ἴδιον [67] εἰσενεγκάμενον τὸ δεδωροδοκημένον
χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μηδὲ ζη-
τεῖν μήθ' εὑρίσκειν τὸ παρὰ πᾶσιν ἀνθρώποις εἶναι
σεμνότατον νομιζόμενον συνέδριον; τίνας δὲ, ὦ Ἀ-
θηναῖοι, (σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτοὺς) τίνας 36.
ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πό-
λιν;

67. εἰς τὸν ἴδιον] F. A. εἰς τὸν ἴδιον οἶκον. Sed malim εἰς τὸν οἶκον. WOLFIVS. sine dubio prius verius, addendum scil. esse οἶκον ad εἰς τὸν ἴδιον. Et id visum Stephano quoque fuit.

λιν; τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος, ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις,
39. ἀδόκιμον καταστήσαντες; τί δ' ἂν (τιθῶμεν γὰρ ταῦτα [68]) ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι [69] τὴν τῆς βουλῆς ἀπόφασιν, τοὺς
42. παῖδας καταπέμψῃ [70] πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ὑμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; γράψεις [71] σύ, Δημόσθενες, πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέμους καλῶς διώ-
99. κησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν ταῦτα δό-

68. τὶ δ' ἂν (τιθῶμεν γὰρ ταῦτα)] In Aldina sic est: τὶ δὲ, ἂν τιθῶμεν γ.τ. quod emendat Wolf sic, vt ἂν plane tollat. magis placet Stephani ratio. In τὶ δὲ ἂν subauditur γένοιτο. nisi malis e versu vltimo ἐροῦμεν subaudiri.

69. πρὸς τῷ γεγενῆσθαι] malim πρὸς τὸ γενέσθαι. quo expeditius et certius pronunciare de crimine possit senatus Areopagiticus.

70. τοὺς παῖδας καταπέμψῃ] Fortasse ministri Harpali sunt intelligendi. WOLFIVS. Aut etiam obsides Athenienſium, ab illis fidei ergo Alexandro traditi, et ab hoc in Asiam abducti. qui cum Alexandrum, quoquo locorum iret, comitarentur, scire poterant omnia, quaecunque in comitatu eius euenirent.

71. γράφεις] malim γράψεις. WOLFIVS. Πότερον γράψεις. ἔτω καὶ ὀλίγῳ ὕστερον ἢ πολεμεῖν μὲν οὐ γράψεις. STEPHANVS. et sic dedi.

ξη καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τὰς μὲν ἄλλας ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαστον [72] 3. εἰσφέρειν, καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν, καὶ τὰ ἐκπώματα, καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα σὺ γράψειν [73], αὐτὸς εἰσενηνεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ, καὶ τῆς ἐν ἄστει [74]; 6. τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενηνοχὼς, εἴκοσι τάλαντα ἔχεις. ἢ πολεμεῖν μὲν ἐγράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύσεις [75] Ἀλεξάνδρῳ. τὸ κεκομισμένον χρυσίον; ἐκεῖν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. 9. καὶ πῶ τοῦτ' ἐστὶ δίκαιον, ἢ κοινὸν ἢ δημοτικὸν, τὰς μὲν ἐργαζομένας εἰσφέρειν, σὲ δὲ ἁρπάζειν; καὶ τὰς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν, καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα, τὰ μὲν ἐκ τῶν βασιλικῶν, τὰ 12. δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων [76] εἰληφότα, μηδὲν φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι

72. ἕκαστον] sic corrigunt H. Steph. et Wolf. vitiosum Aldinae ἕκαστος.

73. γράφειν] dedi γράψειν ex auctoritate eorundem.

74. τῆς ἐν ἄστει] sic correxerunt Wolf et Steph. vitiosum Ald. τοῖς ἐν ἄστει.

75. κελεύεις] dedi κελεύσεις ex auctoritate Stephani.

76. πραγμάτων] F. χρημάτων. WOLFIVS. vulgata bene habet.

σθαι [77] πρὸς τὸν δῆμον, ὡς ἐ πιστεύονται τοῖς ἑαυτῷ πολιτευομένοις. καὶ τὰς μὲν νόμους προλέγειν τῷ
15. ῥήτορι καὶ τῷ στρατηγῷ, τὴν [78] παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον, ἕως ἀξιοῦν προεσθαι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέ-
18. ναι, τοὺς δὲ ἐγγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους, τῶν ἐν ταῖς κρίσεσιν [79] ἕνεκα γινομένων ὅρκων· ἐπιτάττειν δὲ ἄλλοις στρατεύεσθαι, λιπόντα αὐτὸν τὴν κοινὴν τάξιν. ὦ Ἀθηναῖοι, πα-
21. ρὰ τί οἴεσθε τοὺς πολεις τοτὲ μὲν εὖ, τοτὲ δὲ φαύλως πράττειν; ἐδὲν εὑρήσετε ἄλλο πλὴν παρὰ τοὺς συμβούλους, καὶ τοὺς ἡγεμόνας. ἐπιβλέψατε γὰρ ἐπὶ τὴν Θηβαίων πόλιν [80]· ἐγένετο πόλις, ἐγένετο μεγίστη, καί τινων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν,

77. διεσκευάσθαι] χωρίσαι τὴν σαυτῷ οὐσίαν τῆς τοῦ δήμου οὐσίας. WOLFIVS. Ita te gerere erga plebem, ac si decoxisses, foro cessisses, neque quicquam amplius aerario conferre posses, etiamsi velles.

78. στρατηγῷ τὴν] interponendum videtur τῷ.

79. κρίσεσιν] Fortasse pertinet hoc ad consuetudinem illam, de qua est in tutoriis actionibus ὀμνύναι κατὰ τῶν παίδων παρασησάμενον. WOLFIVS.

80. πόλιν etc.] Stephanus in margine locum hunc ita constituit. πόλιν. πότε ἐγένετο πόλις; πότε ἐγένετο μεγίστη; καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν; haud equidem improbem, sic scriptum si inueniam. verumtamen nil video, cur non vulgata perinde feratur.

ἅπαντες γὰρ ὁμολογήσαιεν πρεσβύτεροι [81], παρ' 24.
ὧνπερ κἀγὼ τὸς λόγους ἀκήκοα ἐρῶ, ὅτε Πελοπίδας,
ὡς φασὶν, ἡγεῖτο τῷ ἱερῷ λόχῳ, καὶ Ἐπαμεινώνδας
ἐστρατήγει, καὶ οἱ μετὰ τοῦτον, τότε τὴν ἐν Λεύ-
κτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε
εἰς τὴν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων 27.
χώραν εἰσέβαλον· κατ' ἐκείνους τοὺς χρόνους πολλὰ
καὶ καλὰ διεπράξαντο ἔργα· Μεσσήνην τετρακο-
σιοστῷ [82] ἔτει κατῴκισαν· Ἀρκάδας αὐτονόμους
ἐποίησαν· ἔνδοξοι παρὰ πᾶσιν ἦσαν· πότε δ' αὖ
τἐναντίον ταπεινὰ καὶ τῷ Φρονήματος [83] ἀνάξια 30.
διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρή-
ματα παρὰ τοῦ Φιλίππου Τιμόλαος, ὁ τούτων [84] Φί-
λος, ἐπὶ δὲ τοῖς ξένοις [85] τοῖς εἰς Ἀμφισσαν συλλε-
γεῖσι

81. ὁμολογήσαιεν πρεσβύτερον] interponi velim haec duo ἂν οἱ.

82. Μεσσήνην τετρακοσιοστῷ] v. Lycurg. p. 155. antepen. vbi Μεσσήνην πεντακοσίοις ἔτεσιν ὕστερον.

83. τῷ Φρονήματος] inter haec duo vocabula intermedium aliquod excidit, siue id ἑαυτῶν, siue προτέρᾳ est, siue simile aliud quodpiam.

84. τούτων] F. τούτῳ, Demosthenis puta. Sin τούτων bene habet, significat τῶν δωροδοκούντων κατὰ τῆς πατρίδος. WOLFIVS. Demosthenis puta et quotquot ei sunt criminis participes, et causae defensores, Demades, Polyeuctus, caeteri complices.

85. ἐπὶ δὲ τοῖς ξένοις] Ordo, ὅτε Πρόξενος ὁ προδότης ἐγένετο ἐπὶ τοῖς ξένοις τοῖς εἰς Ἀμφισσαν συλλεγεῖσι. Intelligenda sunt haec de Phocensi bello, quod et Amphissense a primaria Phocidis vrbe dicitur. ἐγένετο ἐπὶ τοῖς ξένοις, id est ἠγήσατο τῶν ξένων ἢ ἐστρα-

γεῖσι Πρόξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν [86] τῆς
33. Φάλαγγος κατεστάθη Θεαγένης [87], ἄνθρωπος ἀ-
τυχὴς καὶ δωροδόκος, ὥσπερ ἔτος. τότε διὰ τρεῖς
γε ἀνθρώπους, ὃς εἶπον, ἅπασα ἡ πόλις μετὰ τῶν
Ἑλλήνων ἁπάντων ἀπώλετο καὶ συνδιεφθάρη. οὐ
γὰρ ψεῦδός ἐστιν, ἀλλὰ καὶ λίαν ἀληθὲς, τὸ τοὺς
36. ἡγεμόνας αἰτίους ἁπάντων γίνεσθαι καὶ τῶν ἀγα-
θῶν καὶ τῶν ἐναντίων τοῖς πολίταις. θεωρήσατε δὴ
πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, τὸν αὐτὸν
τρόπον ἐξετάσαντες. ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ

ἔνδοξος

τήγησεν αὐτῶν. Alius fuit Proxenus Athenienſium dux, cuius fit apud Demoſthenem et in Philippicis hiſtoricis mentio; etſi et illum mulctatum eſſe ab Athenienſibus tradit Vlpianus. WOLFIVS. Proxenus ille, cuius ſaepe mentionem facit Demoſthenes, erat Athenienſis; hic autem, de quo Dinarchus h. l. commemorat, erat aut Thebanus aut certe non Athenienſis. ἐπὶ τοῖς ξένοις in caſtris ad Amphiſſam Proxenus praeeſſet imperator militibus mercenariis a Thebanis conductis, videtur ille Proxenus fuiſſe ξεναγὸς ductor militum mercenariorum, eosque Thebanis mercede elocaſſe..

86. ἡγεμὼν] F. A. ὅ, θ' ἡγεμὼν. WOLF. Nil opus eſt iſtac acceſſione. Aſyndeton eſt. Phalanx opponitur mercenariis. Thebanis enim ciuibus conſtabat.

87. Θεαγένης] Hunc vt virum fortem celebrat Plutarchus, qui ab hoſte fugiente interrogatus, μέχρι τῦ διώκειν; reſponderit, μέχρι Μακεδονίας. et cuius ſoror Timoclia, captis ab Alexandro Thebis, tribunum, a quo ſtuprata fuerat, per ſpeciem monſtrandi auri in puteum praecipitatum obruerit. WOLFIVS.

ἔνδοξος παρὰ τοῖς Ἕλλησι, καὶ τῶν προγόνων ἀξία. μετά γε τὰς ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων (ὡς οἱ πρεσβύτεροι λέγουσιν) ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν [88], ὅτε Χαβρίας [89] ἐν Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις, ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε, τότε, ὦ Ἀθηναῖοι, τότε, οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ τὰς ἡγεμόνας Λακεδαιμόνιοι, καὶ ὑπὸ τοῖς ἐκείνων ἤθεσι τραφέντες, ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἦκον, δεόμενοι τῆς παρὰ τῶν προγόνων ἡμῶν σωτηρίας· ὁ δὲ καταλυθεὶς [90] ὑπ' ἐκείνων δῆμος, διὰ τὰς τότε γενομένας παρ' ὑμῖν συμβάλας, πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων. δικαίως (οἶμαι) στρατηγῶν μὲν τοιούτων τετυχηκὼς, οἵων εἶπον ἀρτίως, συμβάλας δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν Κολυττέα. μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστὶ, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβάλων σπουδαίων τυχεῖν. διόπερ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους, μὴ μὰ Δία τὸν πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας

39. 42. 45. 100. 1. 3. 6.

88. μοῖραν] μόραν apud Demoſth. legitur in Ariſtocratea. WOLFIVS. Et praetuli hoc. Etiam Scaliger ſic correxit.

89. Χαβρίας] ſic corrigunt Wolf et Stephanus vitioſum Aldinae λαβρίας.

90. καταλυθεὶς] loquitur de conſtitutione XXX. tyrannorum. WOLFIVS.

τηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβέλων σπουδαίων· ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ἐργήν, τὸν ἐπ' αὐτοφώρῳ κλέπτην
9. εἰλημμένον καὶ προδότην, τὸν ἐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνεμένων χρημάτων, τὸν εἰς τὰς δεινοτάτας ἀτυχίας ἐμβεβληκότα [91] τὴν πόλιν, τὸν τῆς Ἑλλάδος ὄλεθρον ἀποκτείναντας, ἐξόρισον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι [92] τὴν
12. τῆς πόλεως τύχην ἐᾶσαι· καὶ προσδοκῆσαι, τούτων γενομένων βέλτιον πράξειν. ἀκούσατε, ὦ Ἀθηναῖοι, καὶ ἐκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους· ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς ἔτος· καὶ
15. τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου. σαφῶς γὰρ ὑμῖν πάλαι [93] προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαρτυρίαν [94] πρῶτον. ΜΑΡΤΥΡΙΑ.

91. ἐμβεβλημένον] ἀντὶ τοῦ ἐμβεβληκότα. WOLF. Ego vero nullus dubitaui illud cum hoc commutare.

92. μεταβαλέσθαι] ἀντὶ τοῦ μεταβληθῆναι. WOLF. animum erga vos mutare, pro alienato a vobis, quo adhuc fuit, propitium induere vestrique studiosum.

93. πάλαι] Vetustum enim erat hoc vaticinium, non tum demum, post pugnam Chaeronaicam, sed dudum ante, tempore belli Peloponnesiaci iam redditum.

94. μαρτυρίαν — μαρτυρία] Lege μαντείαν et μαντεία. WOLFIVS. Perquam probabiliter. Verum tamen cum p. 102, 37. insequatur rursus μαντεία haec ipsa, et postmodum demum, non autem nunc statim,

ΤΥΡΙΑ. Λέγε δὴ τὸ καλὸν ψήφισμα τότε [95]. 18.
ΨΗΦΙΣΜΑΤΟΣ ΜΕΡΟΣ. Δημοτικός γε, ὁ διατάττων ἑαυτὸν μὲν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν· ἂς δ' ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. 21.
Λέγε τὰ λοιπά. ΤΟ ΛΟΙΠΟΝ ΤΟΥ ΨΗΦΙΣΜΑΤΟΣ. Ἀκούετε, ὦ ἄνδρες δικασταί. ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς εἰρημένας [96] πρεσβείας. ἐπειδὴ ἥκουσε [97] μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, 24.
αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδράῃ, συσκευασάμενος τῆς διοικήσεως [98] ἐκτὼ τάλαντα· ἐδὲν [99] Φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων 27.
ἐπεδίδοσαν εἰς τὴν ἡμετέραν σωτηρίαν. τοιοῦτος ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν

μάχην

recitetur, ſuſtinui tantisper aſſenſum, donec certius hac de re conſtet.

95. τότου] malim τὸ τότε.

96. εἰρημένας] L. ἠρημένας. *delectos legatos.* WOLF.

97. ἐπειδὴ ἥκουσε] interponi vult Wolf δ'. poſſit quoque γὰρ interponi.

98. διοικήσεως] οἱ ἐπὶ τῆς διοικήσεως, ſcil. τῶν δημοσίων χρημάτων, ſunt quaeſtores, ſeu tribuni aerarii, cuiusmodi fuit Lycurgus orator, cuius vitam v. apud Plutarch. WOLFIVS.

99. ἐδὲν Φροντίσας] L. ἐδὲν Φρ. WOLFIVS. ſic dedi.

μάχην [200] ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμπίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεω-
30. ρίας [1] ἐντυχεῖν ἐβάλετο. ἄξιόν γε τοῦτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπιτρέψαι, κινδυνεύειν μέλλοντας· ὃς, ὅτε μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν, ᾤχετο ἀπιὼν οἴκαδε· ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ
33. τῶν ἄλλων, πρεσβευτὴν αὑτὸς αὑτὸν προβαλόμενος [2], ᾤχετο ἐκ τῆς πόλεως ἀποδράς. ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ εἰρήνης, ἐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα [3]. ἐπειδὴ δὲ τὰς Φυγάδας Ἀλέξανδρον [4] ἔφασαν κατάγειν,
36. καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἦκεν, ἀρχιθέωρον αὐτὸν ἀ-

200. κατὰ τὴν μάχην] F. μετὰ τ. μ. WOLFIVS. Etiam hoc probaui.

1. ἀρχιθεωρίας] θεωροὶ qui sint, notum est. ἀρχιθέωροι legati publice ad Olympia missi, principem Graeciae celebritatem. WOLFIVS. per oportunitatem legationis huius, et sub eius praetextu.

2. προβαλλόμενος] velim vnum λ. detrahi.

3. ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα] ἀντὶ τοῦ, οὐδὲ τῷ ἑτέρῳ ποδί. nisi forte subintelligitur ἐκβιβάσαι. aut simile quodpiam verbum. WOLFIVS. haec parum intelligo, vulgatam satis, quae idem dicit, atque si dixisset, οὐδὲ τὸν ἑαυτοῦ πόδα ἐξελθεῖν. ne alterum quidem pedem suum vrbe esse exiturum, nedum ambos.

4. Ἀλέξανδρος] L. Ἀλέξανδρον. WOLFIVS. et sic dedi. cum fama increbruisset, Alexandrum exsules reducere, h. e. proscripto cuique veniam domum redeundi edicto dedisse.

τὸν ἀπέδωκε [5] τῇ βουλῇ [6]. τοιοῦτος ἦτος, ἐν μὲν ταῖς παρατάξεσιν, οἰκουρός· ἐν δὲ τοῖς οἴκοι μένουσι, πρεσβευτής· ἐν δὲ τοῖς πρεσβευταῖς, δραπέτης ἐστί. Λέγε δὴ καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων ψήφισμα, ὃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου 39.
πάγου βουλῇ περὶ αὐτοῦ τε καὶ ἡμῶν [7]· ἵνα παραλλήλους θεωρήσαντες, εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν. ΨΗΦΙΣΜΑ. Ἔγραψας σὺ τοῦτο, Δημόσθενες; ἔγραψας [8]. οὐκ ἔστιν ἀντειπεῖν. ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος [9]; ἐγένετο. τε- 42.
θνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν. Λέγε δὴ πάλιν, ὃ Δημοσθένης κατὰ Δημοσθένους [10]
ἔγραψε.

5. ἀπέδωκε] ἐπέδωκε. SCALIGER. recte, ni fallor.

6. τῇ βουλῇ] ita corrigunt Wolf et Steph. vitiosum Aldinae τῇ βεβῇ.

7. ἡμῶν] F. ὑμῶν. WOLFIVS.

8. vitiosam Aldinae interpunctionem, quae haec est, Δημόσθενες, ἔγραψας; οὐκ — ad praescriptum marginis Stephanici correxi; quemadmodum Wolf quoque dudum ante fecerat.

9. κυρία προστάξαντος] interposui de meo σοῦ. *fuitne penes senatum potestas illud tuum decretum exsequendi?*

10. Fui aliquando in hac sententia: ὃ Δημοσθένης κατὰ τίνος; *quod Demosthenes contra — quem?* κατὰ Δημοσθένους ἔγραψε *contra Demosthenem tulit.* vt haec sit ad illa responsio. tum statim εὗρηκε Δημοσθένης, τίνα; *invenit, deprehendit reum — quem?* Δημοσθένην *Demosthenem.* Sed nunc nimis ista videntur quaesita, quae, cum fortassis placitura etiam sint, si codices ita

ἔγραψε. προσέχετε, ὦ ἄνδρες· εὕρηκε Δημοσθέ-
45. νην. τί δεῖ πολλῶν λόγων; ἀποπέφαγκεν [11], ὦ
Ἀθηναῖοι. τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' ἑαυτῷ κε-
101.1. κριμένον, εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς
ἡμετέρας [12] ἥκει χεῖρας τὰς ὑπὲρ τοῦ δήμου συνει-
λεγμένας, καὶ τὰς ὁμωμοκότας [13] πείθεσθαι τοῖς
νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί ποιήσετε;
3. προήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ
παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; μὴ, ὦ
Ἀθηναῖοι, μή. αἰσχρὸν γὰρ καὶ δεινὸν, ἑτέρους
μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, ὀλίγους ὄντας
6. τότε χείρους, ὀλίγῳ τοσοῦτ' ἠδικηκότας ὅσαπερ ἔτος,
ἀπολωλέναι· τουτονὶ δὲ, καταφρονοῦντα ὑ-
μῶν

tradidiſſent, tum auctori, codicibus inuitis, obtrudenda non ſint.

11. λόγων; ἀποπέφαγκεν] interponendum videtur aliquid, quod deeſt. e. c. αὐτὸς ἑαυτὸν. *ipſe ſemet detulit.*

12. ὑμετέρας] ſic correxerunt Scaliger, Wolf, Stephanus vitioſum Aldinae ἡμετ.

13. τὰς ὑ. τ. δ. συνειλεγμένων καὶ τὰς ὁμωμοκότας] ſic dant Aldus et Stephanus. Ego Wolfianam hic reddidi, ſolum verbum quartum mutans cum συνειλεγμένους. ne nimis multa eſſent turbanda. Wolfius ad h. l. annotauit haec, et paene eadem Stephanus quoque in margine. leg. τὰς ὑ. τ. δ. συνειλεγμένους. niſi magis placet τῶν ὑ. τ. δ. συνειλεγμένων καὶ τῶν ὁμωμοκότων. pro εἰς τὰς ὑμῶν. Sic Horatius. *Cum mea nemo ſcripta legat vulgo recitare timentis.* Haec Wolfius. Accuſatiuos ſi praefers, erit εἰς τὰς ὑμετέρας χεῖρας tantundem atque ὑφ' ὑμᾶς. *venit ſub vos.*

μῶν[14] καὶ τῶν νόμων, ἀτιμώρητον περιιέναι ἐν τῇ πόλει, αὐτὸν ὑφ' ἑαυτῷ, καὶ τῶν ψηφισμάτων, ὧν ἔγραψεν, ἐαλωκότα. τετὶ τὸ συνέδριον, ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ[15] τὰ δίκαια, 9. ὁ αὐτὸς[16] ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάντων κακῶν, καὶ αὐτῷ[17] τῶν νῦν συμβησομένων· ἐπέτρεψεν ὁ αὐτὸς ἕτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τούτῳ κρῖναι περὶ αὑτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος· ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας 12. τὸ ψήφισμα καθ' ἑαυτοῦ παρὰ τὴν μητέρα τῶν θεῶν[18], ἣ πάντων τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέστηκε. διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐστι ταύτας ἀκύρους ποιεῖν· οὐδὲ τοὺς θεοὺς ὁμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πρά- 15. ξεσιν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν. κρίσει[19] Ποσειδῶν ἀποτυχὼν

14. ὑμῶν] sic correxerunt Wolf et Steph. vitium Aldinae ἡμῶν. et statim post ἀτιμώρητον, quod vitiose in Aldina legitur ἀτιμώριτον.

15. ταῦτα] F. ταυτὰ. WOLFIVS. cui sum obsecutus.

16. ὁ αὐτὸς] malim καὶ ὁ αὐτὸς. *et idem ille orator.*

17. αὖ] Exhibui coniecturam Wolfii αὐτῷ. *et eorum, quae ipsi nunc euenient.* opponuntur enim ἐκείνοις τε et αὐτῷ. tametsi Wolf in latinis non suam coniecturam, sed vulgatam, nescio qua de causa, expressit.

18. παρὰ τὴν μητέρα τῶν θεῶν] id aedificium μητρῷον inde dictum, in quo monumenta publica asservabantur. WOLFIVS. Ratio linguae graecae postulat παρὰ τῇ μητρὶ τ. θ.

19. κρίσει] id est ἐν κρίσει. in iudicio, vel sententia a iudicibus pronuntiata. Videtur Stephanus de

ἀποτυχὼν τοῖς ὑπὲρ Ἀλιζρροθίε πρὸς Ἄρη γενομένοις ἐνέμεινεν. αὗται αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην ἐν τότῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ καὶ τῇ τούτου
18. ἀληθείᾳ συνοίκες ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέτησαν. ὑμεῖς δὲ τί ποιήσετε, οἱ πάντων εἶναι φάσκοντες εὐσεβέστεροι [20]; τὴν τῆ συνεδρίε γνώμην ἄκυρον καταστήσετε, τῇ Δημοσθένες ἐπακολεθήσαντες πονηρίᾳ; ἐκ, ἐὰν σωφρονῆτε, ὦ ἄνδρες Ἀ-
21. θηναῖοι. ἐ γὰρ περὶ μικρῶν ἐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας τῆς πόλεως ἁπάσης· καὶ πρὸς τότοις, περὶ δωροδοκίας, ἔθες πονηρῆ, καὶ πράγματος ἀλυσιτελῆς, καὶ
24. πάντας ἀνθρώπες ἀπολωλεκότος. εἰ μὲν [21], καθόσον ἐσὲ δυνατοὶ, ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τὰς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα, θεῶν βελομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτὰς, περιόψεσθε τὴν
27. πόλιν ἀνατραπεῖσαν ὑπὸ τότων. Ἔγραψεν αὐτὸς

ἐν τῷ

κρίσεως ſuſpicatus eſſe, tametſi margo eius hoc de vocabulo tacet. v. notam proximam.

ἀποτυχὼν τοῖς ὑ. Ἀ. π. Ἄ. γενομένοις] πότερον. ἀποτυχὼν τῆς ὑ. Ἀ. π. Ἄ. γενομένης. ἢ μᾶλλον δεῖ σίζειν μετὰ τὸ ἀποτυχεῖν, ἵνα ᾖ, ἐνέμεινε τοῖς γενομένοις. STEPHANVS. Poſterius hoc potius eſt. τὰ γενόμενα ſunt exitus rei, h. l. τὰ κεκριμένα ὑπὸ τῶν δικαςῶν.

20. εὐσεβέστεροι] ἀντὶ τῆ εὐσεβέστατοι latino quidem more. WOLFIVS.

21. εἰ μὲν] malim ὃ εἰ μὲν. quam ſi vos quidem exterminabitis peſtem.

ἐν τῷ δήμῳ Δημοσθένης, ὡς δηλονότι δικαίου τοῦ πράγματος ὄντος, Φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. ἔτως ἔν, ἄρισε, εἰπέ μοι, Φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἴδια, ἕτερος δὲ πεντε- 30. καίδεκα; Δημάδης δὲ ἑξακισχιλίας χρυσᾶ σατῆρας; ἕτεροι δέ, ὅσα δή ποτε [22] ἀποπεφασμένοι εἰσί. τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τοῖσιν ἀναθεῖναι [23]. καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ [24] δικαιό- 33. τερον, ἅπαντ' ἐν τῷ κοινῷ Φυλάττεσθαι, ἕως ἄν τι [25] δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν. ἐγὼ μὲν

22. ὅσα δή ποτε] ſubaudi ἔχειν.

23. ὧν οἴεσθε τὴν αἰτίαν τοῖσιν ἀναθεῖναι] *quorum culpam in iſtos conſetis conferendam.* τὸ ὧν ad talenta 64. ab oratoribus direpta pertinere videtur, τὸ οἴεσθε ad δωροδόκους, τὸ τούτοις ad iudices. Sed me dubitare de ſententiae veritate fateor. WOLFIVS. Aut aberrarunt h. l. operae Baſileenſes a Wolfii manu, aut calamus eius lapſus eſt, et ſententiam eius peruertit. voluit certe dare τὸ οἴεσθε ad iudices, τούτοις autem ad τοὺς δωροδόκους. Sententia Dinarchi plana eſt. *quorum peculatuum culpam in hos conferre, vos, iudices, cenſetis decere.* Sed deeſſe videtur δεῖν pone οἴεσθε.

24. πρὸς δὲ] ſubaudi τούτοις. *atque etiam.* WOLFIVS. Recte quidem hoc. verum praeterea quoque annotandum erat καὶ deeſſe. vt legatur, πρὸς δὲ, καὶ δικαιότερον.

25. ἄν τι] malim ἄν, τὶ. vt τὶ non ſit encliticum, ſed interrogatiuum, pro ὅ, τι *quid ius et fas ſit.*

μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν, πα-
36. ρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον· τὸ δὲ τούτους
ἔχειν, μηδέν' ἂν [26] εἰπεῖν ὡς ἔστι καλῶς ἔχον. Πολ-
λοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ ἄνδρες,
καὶ οὐδεπώποτε τοὺς αὐτούς. ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅ-
παντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξη-
39. πατημένους ὑφ' ἑαυτοῦ· καὶ μέχρι τούτου μνημονεύον-
τας τὰς ὑποσχέσεις, μέχρις ἂν ῥηθῶσιν. εἰ μὲν
οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ
ἀτυχίας ἀπολαύειν, ἵνα πλέον κακοδαιμονῶμεν [27],
42. (οὐδὲ γὰρ ἔχω τί ἄλλο εἴπω) στερκτέον εἴη τοῖς συμ-
βαίνουσιν· εἰ δ' ἔτι κηδόμεθα τῆς πατρίδος, καὶ τοὺς
πονηροὺς καὶ δωροδόκους μισοῦμεν [28], καὶ μετοιωνίσα-
σθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ
προσεκτέον ἐστὶν ὑμᾶς αὐτοὺς [29], ὦ Ἀθηναῖοι, ταῖς τοῦ

26. μηδὲν ἂν] μηδέν' ἂν, ἢ μηδένα ἂν. STEPHANVS. Posterius iam ante Stephanum Wolf proposuerat, ego prius praetuli.

27. κακοδαιμονῶμεν] κακοδαιμονᾷν *intemperiis agitari.* de quo verbo alibi dictum. WOLFIVS. Non videtur a verbo in άω desinente h. l. deriuandum, sed a verbo in έω. *sinistra et luctuosa fortuna vti, cladibus affligi.*

28. μισοῦμεν] sic correxerunt Scaliger, Wolf, Stephanus, vitium Aldinae μιμοῦμεν.

29. οὐ προσεκτέον ἐστὶν ὑμᾶς αὐτοὺς] ἀντὶ τοῦ ὑμῖν αὐτοῖς. vt Isocrates Euagora. οὐ δουλευτέον τούς γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσι. Sed puto leg. οὐ προετέον ὑμᾶς αὐτοὺς. παρὰ τὸ προΐεμαι. non committendum est, vt vosmetipsi precibus eius quasi con-

μιαρᾷ καὶ γόητος τούτῳ δεήσεσιν, ἀδὲ προσετέον 30 102. I.
τὰς οἰκτους καὶ τὰς φενακισμὰς τούτῳ. ἱκανὴν γὰρ
εἰλήφατε πεῖραν αὐτῷ καὶ τῶν ἔργων καὶ τῶν λό-
γων, καὶ τῆς τύχης. τίς ἔτως εὐελπὶς ἐστιν ὑμῶν, 3.
ὦ Ἀθηναῖοι, τίς ἔτως ἀλόγιστος, τίς τῶν προγεγε-
νημένων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπειρος 31,
ὅστις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς το-
σαύτην ἀδοξίαν καταστήσαντα τὴν πόλιν, δι' ἡντι-
ναθήποτε αἰτίαν ἢ τύχην (ἐῶ γὰρ τοῦτο νῦν) ἐπει- 6.
δὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστηκόσιν
ἡμᾶς κινδύνοις 32, καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως
δωροδο-

donetis, h. e. vt iis moueamini. ſicut dicunt προΐε-σθαι χρήματά τινι. WOLFIVS. Alterutrum verum eſt, aut ſeruato προσεκτέον, delendum eſt αὐτοὺς, quod tum eſt inutile, et officit ſententiae, aut hoc αὐτοὺς ſeruato, neceſſario leg. eſt προετέον. nos decet vos, vosmetipſos huius precibus et obteſtationibus prodere, et quaſi in deditionem tradere. Videtur ludere in vocabulis προΐτέον et προσέτέον. v. notam proximam.

30. προσιτέον] a πρόσειμι, τὸ προσέρχομαι. Sed ſenſus poſtulat, οὐ προσετέον, a προσίεμαι. vnde προσεῖμαι, προσεῖσαι, προσεῖται, προσετὸς, προσετικὸς, προσετέον. vt ratio grammatica docet; cuius ignaros, aut non ſatis peritos, verſari in oratoribus et poetis, magnae temeritatis eſt. WOLFIVS. Dedi προσετέον. res enim liquet, neque dubio locus ſupereſt.

31. πραγμάτων ἄπειρος] Wolf exiſtimat ἔτως eſſe interponendum.

32. κινδύνοις] ſic correxerunt Wolf et Stephanus vitium Ald. κινδύνοις.

δωροδοκίας προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας ἅπ-
κοινῇ πάντες ἀγωνιζόμεθα, καὶ περὶ τοῦ μὴ δοκεῖν
9. τὰ ἴδια παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον
ἔχειν, τηνικαῦτα συμβελεύοντα καὶ πολεμοῦντα
τοῦτον σώσειν[34] ἡμᾶς. ἐῶ γὰρ τἄλλα, ὅσα μεταβαλ-
λόμενος ἐν τοῖς πράγμασι, καὶ δημηγορῶν, ἀδὲν
12. ὑγιὲς τετέλεκε[35]. καὶ τοτὲ μὲν γράφων καὶ ἀπα-
γορεύων[36], μηδένα ἄλλον νομίζειν θεὸν, ἢ τοὺς παρα-
σχ. ad loc. Εφερπύσαι δὲ βαδίσαι, ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. In nonnullis tamen, quos adduxi, locis, vt id obiter moneam, conueniet fortasse exponere, non ad instar τῷ φθειρὸς reptare, verum fortasse adhaerescere. Vti in isto quoque, quem iam addo ex Aeliano XIV. V. H. 26. Αρκεσίλαον τὸν ἐξ Ακαδημίας Ανταγόρας ὁ ποιητὴς ἐλοιδορεῖτο, προσφθαρεὶς αὐτῷ. et similiter XII. H. A. 17. de Echeneide. θεάσῃ νὴ προσφθαρεές. Iam autem post nostram, licet nouam, non fortasse ingratam, explicationem confer decrepitos hos et capularis seneș Lycurgi cum veteri Laerte apud Homerum, Vlyx. α. 189.

ἡνίχ' ὁρᾷν ἦν τὸν δῆμον ψηφισάμενον, τὰς μὲν δούλας, ἐλευθέρας, τὰς δὲ ξένας, Ἀθηναίας, τὰς 9. δ' ἀτίμους, ἐντίμους· ὃς πρῶτον ἐπὶ τῷ αὐτόχθων εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. τοσαύτη δὲ ἡ πόλις ἐκέχρητο μεταβολῇ, ὥστε πρῶτον μὲν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις ἀγαπᾶν, ἐὰν ὑπὲρ τῆς αὑτῶν 12. σωτηρίας ἀσφαλῶς δύνηται κινδυνεῦσαι. καὶ πρότερον μὲν πολλῆς χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε

Λαέρτην ἥρωα· τὸν ἐκέτι φασὶ πόλινδε
Ἐρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγρῆ πήματα πάσχειν
Γρηΐ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
Παρτιθεῖ, εὖτ' ἂν μιν κάματος καλὰ γυῖα λάβῃσιν
Ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.

Accedit etiam, quod, si hunc locum cum Suida legamus περιφθειρομένους, non διαφθειρομένους, et profecto ita legere suadeo, ne dubitandi quidem occasio relinqueretur. Indeque Lucianum optime explicabimus in Pseudologista. Ἀλλ' ἴσασιν ἐκεῖνοι τὰς πρώτας σε τρυφὰς, καὶ ὡς παραδὺς σαυτὸν τῷ ὀλέθρῳ ἐκείνῳ στρατίωτῃ συμπεριεφθείρε πάντα ὑπηρετῶν. Sed praestat fortasse Suidam producere, quoniam praeter morem totum hunc locum Lycurgi ex melioribus exemplaribus videtur descripsisse, quam quibus vti sunt Aldus et Stephanus. Τῶν δ' ἀνδρῶν τὰς τοῖς σώμασιν ἀπειρηκότας, καὶ ταῖς ἡλικίαις πρεσβυτέρας, καὶ ὑπὸ τῶν νόμων τῷ στρατεύεσθαι ἀφειμένας, ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν τότ' ἐπὶ γήρως ὁδῷ περιφθειρομένους, διπλᾶ ἱμάτια ἐμπεπορπημένας. Suid. in Πεπορπημένος. TAYLOR.

τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς ἰδίας κινδυνεύειν. καὶ τὸν δῆμον, ὃν [80] πρότερον Λακεδαιμόνιοι καὶ Πε-
15. λοποννήσιοι, καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, ὅτος ἐδεῖτο τῶν ἐξ Ἄνδρε, καὶ Κέω, καὶ Τροιζῆνος, καὶ Ἐπιδαύρε, ἐπικουρίαν αὐτῷ μεταπέμψασθαι [81]. ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς
18. τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος, μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα, καὶ παριδόντα [82] τὴν τοῦ δήμου σωτηρίαν, τίς
21. ἂν ἡ δικαίως Φιλόπολις, καὶ εὐσεβεῖν βουλόμενος, ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε; τὸν δὲ συμπενθῆσαι τὰς τῆς πατρίδος συμφορὰς [83] τολμήσαντα; δὲ συμ-

βεβλη-

80. τὸν δῆμον, ὃν] facile sit pro primo articulo posteriorem sufficere, vt sic sit: καὶ, ὃν δῆμον πρότερον λακεδαιμ. Sed satius est anacoluthum hic statuere, cuius crebra occurrunt exempla. Nisi mauis pro ὅτος ἐδεῖτο verf. 16. legere τοῦτον ἔδει.

81. μεταπέμψασθαι] nouo significatu, si bene habet, pro *sibi submittere*. Si autem vulgari significatu etiam hic est vsurpatum, necesse est pro ὅτος ἐδεῖτο τῶν — legi τοῦτον ἔδει τὴν (aut τὰς) ἐξ Ἄνδρε —

82. παραδόντα] Lege προδόντα. Monui supra ad p. 162. l. 4. TAYLOR.

Malim παριδόντα. qui praeterviderit, contempserit, neglexerit. v. p. 156. 7.

83. τὰς τῆς πατρίδος συμφορὰς] Melius, ταῖς τῆς πατρίδος συμφοραῖς. TAYLOR.

βεβλημένον ἀδὲν εἰς τὴν τῆς πόλεως καὶ τὸ δήμου σωτηρίαν; καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔξιν 24. ἦτις ἡλικία οὐ παρέσχετο αὐτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας [84], οἱ δὲ νέοι τὰ ὅπλα. ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ, τῆς τῶν τάφων, οἱ δὲ, τῆς 27. χαρακώσεως· ἀδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει, ἐφ' ὧν ἀδενὸς τὸ σῶμα τὸ ἑαυτοῦ παρέσχετο τάξαι Λεωκράτης· ὧν εἰκότως ὑμᾶς ἀναμνησθέντας [85],

τὸν

Videtur vulgata bene habere, aut certe defendi poſſe. πενθεῖν τι, lugere quid, vel ob quid. ergo et συμπενθεῖν τινί τι, cum aliquo aliquid lugere. Idem dictum erit atque ἀδὲ συμπενθῆσαι τῇ πατρίδι τὰς αὐτῆς συμφοράς.

84. οἱ δὲ τετελευτηκότες τὰς θήκας] Eodem modo et eadem ſedulitate muri reficiebantur poſt bellum Perſicum, ὠκοδόμουν τὰ τείχη, ἔτ' οἰκίας ἔτε τάφου φειδόμενοι. Diod. Sic. l. XI. Atque vt interim omnes ſerui atque liberi opus facerent, neque vlli loco parcerent, ſiue facer eſſet, ſiue priuatus, ſiue publicus. Nepos in Themiſtocle §. 6. Caue autem exiſtimes iterum de iisdem agi infra lin. 5. οἱ δὲ, τῆς τῶν τάφων. Ibi enim legendum τάφρων. Scilicet, ἐπεμελοῦντο — τειχῶν — τάφρων — χαρακώσεως. Nihil verius. TAYL.

85. ὧν εἰκότως ὑμᾶς ἀναμνησθέντας] Lege ὧν εἰκὸς ὑμᾶς ἀναμνησθέντας κ. τ. λ. Iam recte ſe habet Conſtructio, quae aliter labaſcere videbatur. Εἰκὸς ἦν, Par erat. Vt Antipho Orat. I. in initio. Οὗς εἰκὸς ἦν τῷ μὲν τεθνεῶτι τιμωρὸς γενέσθαι, τῷ δ' ἐπεξιόντι βοηθός. Haec potiſſimum adnotaui, quoniam in ſchedis meis

τὸν μηδὲ ξυνενεγκεῖν [86], μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν
30. ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων· ὧν ἔτος ἀδὲ τὰς θήκας παριὼν, ἡσχύνθη [87] ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν
33. προσαγορεύων [88]. περὶ ὧν, ἄνδρες, μικρῷ πλείω βέλομαι διελθεῖν, καὶ ὑμῶν ἀκοῦσαι δέομαι, καὶ μὴ νομίζειν ἀλλοτρίας εἶναι τὰς τοιάτας [89] τῶν δημοσίων ἀγῶνας. αἱ γὰρ τῶν ἀγαθῶν εὐλογίαι [90] τὸν

video animaduerſum, fuiſſe olim faſtidioſos quosdam, qui hanc locutionem damnarent. TAYLOR.

Aut cum Tavloro εἰκὸς eſt leg. aut illa vulgata ſeruata, ἀναμνησθέντες in nominatiuo, et ζημιώσαιτε verſ. 31. aut ζημιῶσαι δεῖ.

86. ξυνενεγκεῖν.] comportare cadauera caeſorum ad tumulos, quod faciunt ſuperſtites e praeliis facti.

87. παριὼν, ἡσχύνθη] Punge mecum, ὧν οὗτος ἀδὲ τὰς θήκας παριὼν ἡσχύνθη, ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων. Quorum ſepulchra ille praeteriens non erubuit, licet poſt ſeptem annos tum primum patriam eorum conſalutauerit. Si tamen hoc ſit προσαγορεύων, quod nimium ſuſpicor. Heſychius quidem προσαγορεύει. ἀσπάζεται. Nonnullis fortaſſe placere poteſt ἀπαγορεύων, qui per ſeptennium patria ſe abdicauerit. Ego tamen, vt decet, ἐπέχω. TAYL.

88. αὐτῶν προσαγορεύων] videtur ἑαυτῶ eſſe interponendum. illum, praeter capſas eorum praetereuntem, nil puduit, ipſorum patriam ſuam appellare, ſe ferre ciuem ipſorum, communi cum ipſis patria vtentem.

89. Lego τὰς τοιάτας λόγας τῶν δημοσίων ἀγώνων.

90. αἱ γὰρ τῶν ἀγαθῶν] Muretus XVII. Var. Lect.

τὸν ἔλεγχον σαφῆ κατὰ τῶν ταναντία ἐπιτηδευόντων ποιῆσιν. ἔτι δὲ καὶ δίκαιον τὸν ἔπαινον, ὃς μό- 36.
νος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶ, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως ἐτελεύτησαν, μὴ παραλιπεῖν. ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι, 39.
οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες, οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς· ἀλλὰ τὴν μὲν αὐτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν λιθίνων περιβό- 42.
λων, τὴν δὲ θρέψασαν αὐτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην. εἰκότως 91· ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας, καὶ τοὺς ποιητοὺς τῶν πατέρων, οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας, ἀλλ' 154. I.
ὕστερον ἐπικτήτους γενομένας, καταδεέστερον διάκεινται. τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς ἀρίστοις ἀνδράσιν ἐξίσου τῶν κινδύνων μετασχόντες, 3.
οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν. τῆς γὰρ ἀρετῆς οὐ ζῶν-

6. legit αἱ γὰρ τῶν ἀγαθῶν ἀνδρῶν εὐλογίαι etc. deinde, l. 7. ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τὰς ψυχὰς αὐτῶν ἀνήλωσαν ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι πόλεως, μὴ παραλιπεῖν. Si haec ex fide MStorum dixerit, bene dixit. TAYLOR.

91. πορθουμένην. εἰκότως.] Haec recte a me distinguuntur: Vide ad §. 26. Interpretem nostrum, vt vides, fefellit vulgaris distinctio, αἰσχυνόμενοι περιορᾶν πορθουμένην εἰκότως. TAYLOR.

οὐ ζῶντες ἀπολαύσουσιν, ἀλλὰ τελευτήσαντες, τὴν δόξαν ἐγκαταλελοίπασιν, οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες, ἔνθα παρετάχθησαν [92] ὑπὲρ τῆς
6. ἐλευθερίας ἀμύνοντες [93]. εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δὲ, ἐκεῖνοι νικῶντες ἀπέθανον. τὰ γὰρ ἆθλα τῶ πολέμω τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶν, ἐλευθερία καὶ ἀρετή. ταῦτα γὰρ ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. ἔπειτα δὲ οὐ
9. οἷόν τ' ἐστὶν εἰπεῖν, ἥττης αἰτίας [94] τὸς ταῖς διανοίαις μὴ πτήξαντας τὸν [95] τῶν ἐπιόντων φόβον. μόνος γὰρ τὸς ἐν τοῖς πολέμοις καλῶς ἀποθνήσκοντας οὐδ' ἂν εἷς ἡττηθῆναι δικαίως φήσειε. τὴν γὰρ δουλείαν φεύγοντες, εὐκλεᾶ θάνατον αἱρεῖνται. ἐδή-
12. λωσε δὲ ἡ τέτων τῶν ἀνδρῶν ἀρετή. μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. ἅμα γὰρ ἤτοί τε τὸν βίον με-

92. ἔνθα παρετάχθησαν] Coniecit Cl. Marklandus ad Lysiam p. 47. l. 8. ἐνθαπερ ἐτάχθησαν. TAYL.

93. ἀμύνοντες] Potius ἀμυνοῦντες, vt recte Lonicerus, dimicaturi. Ita p. superiori, ἀπήντησαν — ὑπὲρ τῆς τῶν Ελλήνων ἐλευθερίας μαχόμενοι. TAYLOR.

94. ἥττης αἰτίας] Amissae victoriae auctores. Haec sunt quouis piaculo digna. At id tantum abfuit, vt Orator etiam contenderet eos neque ἡττηθῆναι, vt l. 5. μόνος τὸς ἐν τοῖς πολέμοις καλῶς ἀποθνήσκοντας οὐδ' ἂν εἷς ἡττηθῆναι δικαίως φήσειε. Reſcribe igitur, οὐδ' οἷόν τ' ἐστὶν εἰπεῖν, ἡττῆσθαι τὸς ταῖς διανοίαις μὴ πτήξαντας. Macula illa Exemplarium, αἰτίας, vnde originem traxerit, vides. Inter voces ἡττῆσθαι et τὸς videre viſus eſt bonus librarius. TAYLOR.

95. τὸν] malim διὰ τὸν.

τήλαξαν, καὶ τὰ τῆς Ἑλλάδος εἰς δειλείαν μετέπεσεν. συνετάφη γὰρ τοῖς τότων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία. ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. ὥστε, ὦ ἄνδρες, οὐκ αἰσχυνθείην εἰπὼν σέφανον τῆς πατρίδος εἶναι τὰς ἐκείνων ψυχάς. καὶ δι' ἃ [96] ἐκ ἀλόγως ἐπετήδευον, ἐπίσασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τὸς ἀγα- 18.
θὸς ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς ἀγοραῖς ἀθλητὰς ἀνακειμένους [97], παρ' ὑμῖν δὲ στρατηγὸς ἀγαθὸς, καὶ τὸν τύραννον ἀποκτείναντας. καὶ τοιοῦτος μὲν ἄνδρας ὐδ' ἐξ ἁ- 21.
πάσης τῆς Ἑλλάδος ὀλίγος εὑρεῖν ῥᾴδιον, τὸς δὲ τὸς στεφανίτας ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἐσὶ γεγονότας ἰδεῖν. ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίσας τιμὰς ἀπονέμετε, ἕτω δίκαιον καὶ τὸς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόν- 24.
τας ταῖς ἐσχάταις τιμωρίαις κολάζειν. σκέψασθε δὲ, ὦ ἄνδρες, ὅτι ὐδὲν ὑμῖν ἐσιν [98] ἀποψηφί-
σασθαι

96. καὶ δι' ἃ] malim καὶ γὰρ δι' ἃ —

97. ἀθλητὰς ἀνακειμένους] Ἐν τῇ Μιλήτῳ πολλὰς ἀνδριάντας ἀθλητῶν θεασάμενος (Alexander) Ὀλύμπια καὶ Πύθια νενικηκότων, καὶ πᾶ τὰ τηλικαῦτα ἦν σώματα, ἔφη, ὅτε σὶ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκων; Plutarch. Apophthegm. TAYLOR.

98. ὐδὲν ὑμῖν ἐσιν] Emendo ὐδ' ἐν ὑμῖν ἐσιν. Iam non amplius in vestra potestate situm est. Rationem reddit in sequentibus. TAYLOR.

Malim tamen ὐδ' ἔνεσιν ὑμῖν vt vsitatius.

σασθαι Λεωκράτες τετεί, τὰ δίκαια ποιῆσι. τὸ γὰρ ἀδίκημα τῆτο κεκριμένον ἐςὶ καὶ κατεγνωσμένον. ἡ μὲν γὰρ ἐπ' Ἀρείῳ πάγῳ βελὴ (καὶ μη-
27. δεὶς μοι θορυβήσῃ· ταύτην γὰρ ὑπολαμβάνω μεγίςην τότε γενέσθαι τῇ πόλει σωτηρίαν) τὲς φεύγοντας τὴν πατρίδα καὶ καταλιπόντας τότε [99], ὡς πολεμίες λαβῆσα ἀπέκτεινε. καίτοι, ὦ ἄνδρες, μὴ νομίζετε, τὲς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώ-
30. τατα δικάζοντας, αὐτοὺς ἂν εἴς τινας τῶν πολιτῶν τοιῆτόν τι [100] παρανομῆσαι. ἀλλὰ μὴν Αὐτολύκε μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτῆ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τὲς υἱὲς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι· καὶ ἐτιμωρήσασθε. καί-
33. τοι εἰ τὸν τὲς ἀχρήσες εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν ὅστις ἀνὴρ ὢν ἐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος εἶναι τὸ γινόμενον, ἐψηφίσατο ἐνόχες εἶναι τῇ προδοσίᾳ τὲς φεύγον-
36. τας τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον, ἀξίες εἶναι νομίζων τῆς ἐσχάτης τιμωρίας. εἰ δὴ κατέγνωσαν μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ, κατεψήφισαν δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται δὲ παρὰ τῷ δήμῳ τῆς μεγίςης ἄξια εἶναι τιμωρίας,
39. τέτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων γὰρ ἀν-

99. καταλιπόντας τότε] Distingue post τότε, τὲς καταλιπόντας τότε, in eo sc. bello. Errauit Interpres, deceptus mala Stephani distinctione. TAYLOR.

100. τοιῆτόν τι] scil. ὥςε φονεύειν τινὰ ἀδίκως.

θρώπων ἔσεσθε ἀγναμονέστατοι. καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν κινδυνεύοντας. ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν, ὦ ἄνδρες, Λεωκράτης, φανερόν ἐστι. Πυνθάνομαι δὲ αὐτὸν 42. ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν, λέγοντα, ὡς ἔμπορος ἐξέπλευσε, καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμησεν εἰς Ῥόδον. ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθε, ὡ ῥᾳδίως λήψεσθε αὐτὸν ψευδόμενον. πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα ἐμβαίνουσιν οἱ 155. 1. κατ' ἐμπορίαν πλέοντες, ἀλλ' ἐκ τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποπεμπόμενοι. ἔπειτα δὲ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν, 3. ἀλλὰ μόνοι μετὰ παιδὸς τοῦ διακονοῦντος. πρὸς δὲ, τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον ὡς ἔμπορον πέντε ἔτη κατοικεῖν, καὶ τὰ ἱερὰ τὰ πάτρια μετακομίζεσθαι, καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν; εἰ μὴ κατεγνώκει [1] τε αὐτοῦ προδεδωκέναι τὴν πα- 6. τρίδα, καὶ μεγάλα πάντας ἠδικηκέναι. ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι [2] τιμωρίας, ταῦθ' ὑμεῖς ἀπολύσετε, κύριοι γενόμενοι τῆς ψήφου. χωρὶς δὲ τούτων, οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν ἀπολο- 9. γίαν. πῶς γὰρ ὁ δεινὸν, τοὺς ἐπὶ ἐμπορίαν ἀποδη-

μοῦντας

1. malim κατεγνώκει γε ἑαυτοῦ.

2. τεύξεσθαι] Scal. τετεύξεσθαι. Proxime notes, istud ταῦθ' absolute dici, neque enim regitur ab ἀπολύσετε. Vt sit διὰ ταῦθ' ἀπολύσετε. Versionem ergo reformabis. TAYLOR.

μεῖντας [3], σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοήθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς καὶ κατ' ἐργασίαν [4] ἐκπλεῖν, ἡνίκα οὐδ' ἂν εἷς προσκτήσασθαι
12. ἀδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυλάξαι; ἡδέως δ' ἂν αὐτῷ πυθοίμην, τίνα ἐμπορίαν εἰσάγων χρησιμώτερος ἐγένετο ἂν [5] τῇ πόλει τοῦ παρασχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς, καὶ τοὺς ἐπιόντας ἀμύνασθαι, μεθ' ἡμῶν μαχόμενος.
15. ἐγὼ μὲν ἀδεμίαν ὁρῶ τηλικαύτην οὖσαν βοήθειαν. ἄξιον δὲ ἐστιν οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην, ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον. φανερῶς γὰρ ψεύδεσθαι τετόλμηκεν. ἔτε γὰρ πρότερον
18. ἀδεπώποτε ἐγένετο ἐπὶ ταύτης τῆς ἐργασίας, ἀλλ' ἐκέκτητο χαλκοτύπας· ἔτε τότε ἐκπλεύσας οὐδὲν εἰσήγαγεν ἐκ Μεγάρων, ἓξ ἔτη συνεχῶς ἀποδημήσας. ἔτι δὲ καὶ πεντηκοντῆς μετέχων ἐτύγχανεν, ἣν ἐκ ἂν καταλιπὼν κατ' ἐμπορίαν ἀπεδήμει. ὥστ' ἂν

3. ἐπὶ ἐμπορίαν ἀποδημοῦντας] Πότερον, ἐπὶ ἐμπορίᾳ. Ολίγῳ δὲ πρότερον (192. l. 3.) εἶπε κατ' ἐμπορίαν. STEPHAN. Infra etiam, paragrapho exeunte, κατ' ἐμπορίαν ἀπεδήμει. Sed emendatio viri praestantissimi est minus necessaria. TAYLOR.

4. καὶ κατ' ἐργασίαν] Dele inutilem particulam καὶ, quam debemus voci proximae. TAYL.

Num, καὶ ἀδὲ κατ' ἐργασίαν. *et ne quaestus quidem faciendi causa.*

5. χρησιμώτερος ἐγένετο ἄν] Non, commodiorem fuisse, cum Lonicero, sed fieri potuisse. Quod aliud est. Deinde ἐκπλεύσας — ἐκ Μεγάρων miror esse versa, hinc soluens. TAYLOR.

μέν τι περὶ τούτων λέγῃ, ἀδ' ὑμᾶς ἐπιτρέψειν αὐ- 21.
τῷ νομίζω. ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον φερό-
μενος, ὃν αὐτῷ συμβεβλήκασί τινες τῶν συνηγόρων,
ὡς ἐκ ἔνοχός ἐστι τῇ προδοσίᾳ. οὔτε γὰρ νεωρίων κύ-
ριος, ἔτε πυλῶν, ἔτε στρατοπέδων, ἐθ' ὅλως τῶν
τῆς πόλεως ἀδενός. ἐγὼ δ' ἡγέμαι, τὸς μὲν τούτων 24.
κυρίους μέρος ἄν τι προδῶναι [6] τῆς ὑμετέρας δυνά-
μεως, τοὺς δ' ὅλην ἕκδοτον ποιῆσαι τὴν πόλιν. ἔ-
τι δ' οἱ μὲν τοὺς ζῶντας μόνον ἀδικῶσι προδιδόντες·
ὅστος δὲ καὶ τὸς τετελευτηκότας καὶ τὰ ἐν τῇ χώ- 27.
ρᾳ ἱερὰ τῶν πατρῴων νομίμων ἀποστερῶν. καὶ ὑπὸ
μὲν ἐκείνων προδοθεῖσαν, εἰκεῖσθαι ἂν συνέβαινε [7]·
δέλην δὲ ἔσαν τὴν πόλιν, ὃν τρόπον ὅστος ἐξέλιπεν,
ἀοίκητον ἂν γενέσθαι. ἔτι δὲ ἐκ μὲν τῶ κακῶς πράτ-
τειν τὰς πόλεις, μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον 30.
εἰκός ἐστιν, ἐκ δὲ τῶ παντάπασι γενέσθαι ἀνάσα-
τον [8], καὶ τῶν κοινῶν ἐλπίδων στερηθῆναι. ὥσπερ
γὰρ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς ἐκ τῶ κακῶς πρᾶξαι
μεταπεσεῖν, τελευτήσαντι [9] δὲ συναναιρεῖται πάν-
τα,

6. μέρος ἄν τι προδῶναι] Iterum non, prodere, sed proditurus fuisse. Haec enim per ὑπόθεσιν dicuntur, et Graeca bene instituuntur, sed Interpretem bonum desiderarunt. TAYLOR.

7. Num sic leg. συνέβαινε, δέλην ἔσαν τὴν πόλιν. ὃν δὲ τρόπον ὅστος ἐξέλιπεν, ἐκλειφθεῖσαν, ἀοίκητον —

8. F. ἀναστάτως, ἀναγκαῖον καὶ τῶν κ. ἐλπ.

9. τελευτήσαντι] Lego et distinguo certissima fide, ὥσπερ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς ἐκ τῶ κακῶς πρᾶξαι μεταπεσεῖν, τελευτήσαντι δὲ καὶ συναναιρεῖσθαι πάντα κ. τ. λ. Atque ita interpretatur Lonicerus.

33. τα, δι' ὧν ἄν τις εὐδαιμονήσειεν, ἕτω καὶ περὶ τὰς πόλεις συμβαίνει, πέρας ἔχειν τὴν εὐτυχίαν [10], ὅταν ἀνάσατοι γένωνται. εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πόλεώς ἐστι θάνατος, ἀνάσατον γενέσθαι. τεκμήριον δὲ μέγιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν
36. παλαιὸν ὑπὸ τῶν τυράννων κατεδαλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα [11] καὶ ὑπὸ Λακεδαιμονίων

Neque aliter sane potuit, si vllam bonam mentem auctori suo dare voluisset. TAYLOR.

Ego dedi τελευτήσαντι δὲ συναναιρεῖται. quod postremum, per errorem a Stephano mutatum, ex Aldina reuocaui.

10. ἀτυχίαν] Restituo εὐτυχίαν. Tum solum πέρας ἔχει εὐτυχία Rerump. tum solummodo actum erit de earum fortunis, cum funditus euersae fuerint: Non enim protinus conclamatum erit de Ciuitate, si res minus prospere succedant. Haec est γνώμη, quam Orator hic illustrat. Cui vox ἀτυχίαν quantum concinat, Tu vide, cui mea displicent. TAYLOR.

11. τριάκοντα] Punge post τριάκοντα, refertur enim ad ἡ πόλις κατεδαλώθη, non ad τὰ τείχη καθηρέθη: hoc modo: ἡμῶν ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων κατεδαλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα, (sc. sub. κατεδαλώθη, ἀπὸ τῆ κοινῆ, vt aiunt) muri autem a Lacedaemoniis sunt diruti. Interpres igitur errauit propter malam fidem Editoris. Muri vrbis a Lacedaemoniis solis diruti erant ante dominatum XXX virorum. Quaeri itaque potest, quid velit istud ἀμφοτέρων? Hoc sc. Ciuitas nostra bis in seruitutem redacta est, a Tyrannis primo, Pisistrato nempe etc. deinde a XXX viris (Accidit autem, vt in posteriore hac seruitute muri etiam a Lacedaemoniis subruerentur):

τὰ τείχη καθηρέθη. καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθημεν, καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἠξιώθημεν προσάται γενέσθαι. ἀλλ' οὐχ, ὅσαι πώποτ' ἀνάσατοι γεγόνασι. τοῦτο μὲν γὰρ (εἰ καὶ 39.
παλαιότερον εἰπεῖν ἐστι) τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι μεγίστη γεγενημένη τῶν τότε πόλεων, καὶ πάσης ἐπάρξασα τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, τὸν αἰῶνα ἀοίκητός ἐστι; τοῦτο δὲ, Μεσήνην, πεντακοσίοις [12] ἔτεσιν ὕστερον ἐκ τῶν 42.
τυχόντων ἀνθρώπων συνοικισθεῖσαν; ἴσως ἔν τῶν συνηγόρων αὐτῷ [13] τολμήσει τις εἰπεῖν, μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων· καὶ οὐκ αἰσχύνονται τοιαύτην ἀπολο-156. I.
γίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως ἂν ἀποθάνοιεν. εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες ὑμᾶς ἐάτωσαν διαγνῶναι περὶ τοῦ μεγέθους [14]· εἰ δ' ὅλως μηδὲν τούτων 3.
πεποίηκεν, οὐ μανίαν δήπου τοῦτο λέγειν, ὡς οὐδὲν ἂν [15] γένηται παρὰ τοῦτον; ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τοὺς ἀν-

Veruntamen ex vtroque dominatu etc. Hoc certissimum est. TAYLOR.

12. πεντακοσίοις] Dinarchus p. 99, 28. tantummodo 400. numerat.

13. αὐτῷ] ipsi audebit dicere. Lonicerus. Falso. non αὐτῷ εἰπεῖν (quale enim esset hoc?) sed τῶν συνηγόρων αὐτῷ. Quod cum noue dicitur, quod sciam, legerem, τῶν συνηγόρων αὐτοῦ. TAYLOR.

14. post μεγέθους videtur τοῦ ἀδικήματος deesse. v. vers. 15.

15. οὐδὲν ἂν] scil. κακὸν, vel δυσχερές.

τἐναντίον τέτοις, παρὰ τᾶτον εἶναι τῇ πόλει τὴν
6. σωτηρίαν. ἡ γὰρ πόλις οἰκεῖαν κατὰ τὴν ἰδίαν ἑ-
κάσων μοῖραν φυλαττομένη· ὅταν ἓν ταύτην ἐφ'
ἑνός τις παρίδῃ, λέληθεν ἑαυτὸν ἐφ' ἁπάντων τᾶ-
το πεποιηκώς. καίτοι ῥᾴδιόν ἐστιν, ὦ ἄνδρες, πρὸς
τὰς τῶν ἀρχαίων νομοθετῶν διανοίας ἀποβλέψαν-
9. τας, τὴν ἀλήθειαν εὑρεῖν. ἐκεῖνοι μὲν γὰρ οὐ τῷ
ἑκατὸν τάλαντα κλέψαντι θάνατον ἔταξαν, τῷ
δὲ δέκα δραχμὰς, ἔλαττον ἐπιτίμιον· ἐδὲ τὸν μὲν
μεγάλα ἱεροσυλήσαντα ἀπέκτειναν, τὸν δὲ μικρὰ,
ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· ἐδὲ τὸν μὲν οἰκέτην ἀπο-
12. κτείναντα ἀργυρίῳ ἐζημίων, τὸν δὲ ἐλεύθερον [16],
εἶργον τῶν νόμων [17]· ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς
ἐλαχίστοις παρανομήσασι [18] θάνατον ὥρισαν εἶναι
τὴν ζημίαν. οὐ γὰρ πρὸς τὸ ἴδιον [19] ἕκαστος αὐτῶν
ἀπέ-

16. ἐλεύθερον] ſubaudi a communi ἀποκτείναντα.

17. εἶργον τῶν νόμων] Male, legibus cohibebant. Corrigendum autem cum optimo Stephano τῶν νομίμων. Ita ter apud Antiph. περὶ τᾶ χορευτᾶ pag. 145. Edit. Steph. Πείσαντες δὲ τότες ἀπογράφεσθαι, καὶ προσαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων, ἡγήσαντο ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν πραγμάτων ἁπάντων. ὁ γὰρ νόμος ὅτως ἔχει, ἐπειδάν τις ἀπογραφῇ φόνε δίκην, εἴργεσθαι τῶν νομίμων. καὶ ἔτ' ἂν ἐγὼ οἷός τ' ἦν ἐπεξελθεῖν εἰργόμενος τῶν νομίμων. Quo tamen in loco poſtremo male excudebatur, id animaduertente eodem Stephano, νομικῶν. TAYLOR.

18. παρανομήμασι] Recte, ſuadente Stephano, pro παρανομήσασι Ald. TAYLOR.

Aut ἐλαχίσοις παρανομήμασιν eſt leg. aut ἐλάχισα παρανομήσασιν.

19. τὸ ἴδιον] id eſt τὴν ἰδιωτητείαν, *ſtatum priuatum*

ἀπέβλεπε τῷ γεγενημένῳ πράγματος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμβανον, ἀλλ' 15.
αὐτὸ ἐσκόπουν τοῦτο, ἢ [20] πέφυκε τὸ ἀδίκημα τοῦτο ἐπὶ πλεῖον ἐλθὸν μέγα βλάπτειν τὰς ἀνθρώπους. καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ τούτων ἐξετάζειν. Φέρε γάρ, ὦ ἄνδρες, εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον ἐλθὼν ἐξαλείψειεν, εἶτ' ἀπολογοῖτο, ὡς οὐδὲν παρὰ 18.
τοῦτο [21] τῇ πόλει ἐστὶν, ἆρ' ἂν ἀπεκτείνατ' αὐτόν; ἐγὼ μὲν οἶμαι, δικαίως, εἴπερ ἐμέλλετε καὶ τὰς ἄλλας σώσειν. τὸν αὐτὸν τοίνυν τρόπον κολαστέον ἐστὶ τοῦτον, εἰ μέλλετε τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν. καὶ οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστι 21.
μόνος [22] ὁ ἄνθρωπος, ἀλλ' εἰ καὶ τὸ πρᾶγμα [23].
ἐγὼ μὲν γὰρ ἡγοῦμαι, τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι, ἡμέτερον εὐτύχημα εἶναι· τοῦτον μέντοι διὰ τοῦτο μείζονος τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν, οὐ κοινὴν, ἀλλ' ἰδίαν τὴν σω- 24.
τηρίαν

rei, quod causa esset, non ad rempublicam, sed ad homines priuatos pertinens.

20. ἢ] *quatenus.* fuit cum εἰ suspicarer.

21. τοῦτον] dedi τοῦτο de meo. *propter hoc facinus.*

22. μόνος bene habet. εἷς μόνος bene graecum est. In ὁ ἄνθρωπος subauditur e praemissis ὁ κολαστέος.

23. ἀλλ' εἰς τὸ πρᾶγμα] Lege οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστι μόνον ὁ ἄνθρωπος, ἀλλ' εἰ τὸ πρᾶγμα, scil. (ἓν ἐστι). TAYLOR.

Dedi de meo εἰ καὶ τὸ πρᾶγμα. scil. aut κολαστέον ἐστὶ. aut μόνον ἐστὶ. nunc etiam res vel factum sit singulare, ad vnum solum hominem pertinens, neque vltra eum ad alios quoque proserpens.

τηρίαν ἐζήτησεν. Ἀγαναικτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκέσω τῶν μετὰ τοῦτο τινὸς λέγοντος, ὡς ἐκ ἔστι τοῦτο προδιδόναι, εἴ τις ᾤχετο ἐκτῆς πόλεως. καὶ γὰρ οἱ πρόγονοι ποθ' ἡμῶν τὴν πόλιν καταλι-
27. πόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμει, εἰς Σαλαμῖνα διέβασαν. καὶ ἔτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκὼς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. ποῦ γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε;
30. τίς δ' ἔτως ἢ φθονερός ἐστιν, ἢ παντάπασιν ἀφιλότιμος, ὃς ἐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; οὐ γὰρ τὴν πόλιν ἐξέλιπον[24], ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βεβουλευσάμενοι. Ἐτεόνικος μὲν γὰρ ὁ
33. Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίνθιος, καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὐτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλειπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ πάντων τῶν Ἑλλήνων, βίᾳ καὶ τοὺς ἄλλους
36. ἠλευθέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μετ' αὐτῶν[25] πρὸς τοὺς βαρβάρους ναυμαχεῖν. μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες. ἆρά
39. γε ὅμοιον τῷ Φεύγοντι[26] τὴν πατρίδα τεττάρων ἡμε-

24. τὴν πόλιν ἐξέλιπον] Parum caſte Lonicerus. Tu, vrbem deſerebant. In illa altera interpretatione nihil ad mentem Auctoris. TAYLOR.

25. μετ' αὐτῶν] Malim μεθ' αὐτῶν. TAYLOR.

26. τῷ Φεύγοντι] Suſpicor ſic ferme Lycurgum

ἡμερῶν πλοῦν εἰς Ῥόδον; ἦπου ταχέως [27] ἂν ἠνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καταισχύνοντα τὴν αὑτῶν ἀριστείαν. οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες, ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον, φίλον ὄντα αὐ- 42.
τοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ ᾔτησεν, μικροῦ δεῖν κατέλευσαν. ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν [28] λαμβάνειν, ἦπου τὸν ἔργῳ παραδόντα τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις, οὐ μεγάλαις ἂν ζημίαις ἐκόλασαν; τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις, 157.I.
ἐνενήκοντα [29] μὲν ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν,

reliquiſſe: ἆρά γε ὅμοιον τὸ πλεῖν φεύγοντα (in accuſatiuo) *Eſtne huic ſimile, fugientem e patria iter quatridui per mare conficere, tendentem ad Rhodum.*

27. ταχέως] Noue hoc dictum, neque ſine maxima ſuſpicione mendi, ταχέως ἠνέσχετο. Sic et infra quoque p. 246. l. 6. ὃς γὰρ ὑπὲρ τῆς αὑτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γ' ἂν ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τινα ὑπομείνειε. Verum repone τραχέως et τραχύ. Ita Demoſthenes π. παραπρεσβ. §. 16. Edit. Oxon. τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾷν σχόντων, vbi in nonnullis Codd. ſed mendoſe, vt hic apud Lycurgum, ſcribitur ταχέως. Locum igitur prae manibus ita verte: Nimirum aegre iſti homines ſuſtinuiſſent tale facinus; immo annon exiſtimetis eos lapidibus confeſtim obruturos, qui —? Proxime τὴν αὑτῶν ἀριστείαν legas, non αὑτῶν. Eſt enim veriſſimum. TAYLOR.

28. ἠξίου] vitium hoc typographei Stephanici ſeruauit Taylor quoque. Ego vero ex Aldina repoſui ἠξίουν in tertia plurali.

29. ἐνενήκοντα] Vereor, vt hoc ſit nimium, vt re-

σησαν, Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ καὶ ναυμαχοῦντες καὶ πεζομαχοῦν-
3. τες ἐνίκησαν, ἑκατὸν δὲ τριήρεις τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν· καὶ τὸ κεφάλαιον τῆς νίκης, ἃ τὸ ἐν Σαλαμῖνι [30] τρόπαιον ἀγαπήσαντες ἔση-
6. σαν [31], ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες τὸς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύσαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο, μακρῷ μὲν πλοίῳ μὴ πλεῖν [32] ἐντὸς Κυανέων καὶ Φάσιδος, τὸς δ' Ἑλ-

scribendum potius ἑβδομήκοντα. Istum enim numerum vix excedunt, qui de imperio Athenienſium perquam magnifice ſentiunt: plurimi intra eum ſe continent. Eorum nonnullos, non tamen omnis, videre eſt apud Meurſium de Fortuna Athenarum. c. X. TAYLOR.

30. ἃ τὸ ἐν Σαλαμῖνι] Senſus eſt, Non contenti tropaeum erigere, quod erat monumentum victoriae Salamine partae, verum etc. TAYLOR.

31. ἀγαπήσαντες ἔσησαν] Alius dixiſſet ἠγάπησαν σήσαντες.

32. μὴ πλεῖν etc.] Foedus hoc conſeruauit Diod. Sic. l. XII. non longe ab initio. Ἐγένοντο συνθῆκαι περὶ τῆς εἰρήνης τοῖς Ἀθηναίοις καὶ τοῖς συμμάχοις πρὸς τὸς Πέρσας, ὧν ἐστι τὰ κεφάλαια ταῦτα· αὐτονόμους εἶναι τὰς κατὰ τὴν Ασίαν Ἑλληνίδας πόλεις ἁπάσας, τὸς δὲ τῶν Περσῶν σατράπας μὴ καταβαίνειν ἐπὶ θάλατταν κατωτέρω τριῶν ἡμερῶν ὁδὸν, μηδὲ ναῦν μακρὰν πλεῖν ἐντὸς Φάσιδος καὶ Κυανέων. Cuius in margine Φασήλιδος appingitur, vt legi debet, et hic etiam reſtitui. Suidas v. Κίμων. Καὶ ἐπ' Εὐρυμέδοντι ποταμῷ ναυσὶ καὶ πεζῷ νικᾷ ἐπὶ τῆς αὐτῆς ἡμέρας. ἔτος ἔταξε καὶ τὸς ὁ-

δ' Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην, ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. καίτοι 9.
οἴεσθε ἄν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν χώραν κατοικεῖν ὑμᾶς; χρὴ τοίνυν, ὦ ἄνδρες, ὥσπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κο- 12.
λάζειν· ἄλλως τε καὶ Λεωκράτην, ὃς ὅτε ἔδεισεν, ὅτε ἠσχύνθη ἡμᾶς. καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων, καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. ἄξιον γὰρ ὅμως καίπερ πρὸς εἰδότας διελθεῖν. ἐγκώμιον γάρ, νὴ τὴν Ἀθηνᾶν, εἰσὶ τῆς πό- 15.
λεως οἱ παλαιοὶ νόμοι, καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων· οἷς ἂν προσέχητε, τὰ δίκαι-

ρος τοῖς Βαρβάροις· ἐκτός τε γὰρ Κυανέων καὶ Χελιδονίων καὶ Φασήλιδος (πόλις δὲ αὕτη τῆς Παμφυλίας) ναῦν Μηδικὴν μὴ πλεῖν νόμῳ πολέμ. Hocr. in Areopag. extr. Οἱ δὲ Βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστε ὅτε μακροῖς πλοίοις ἔγγισα Φασήλιδος ἔπλεον, ὅτε κ. τ. λ. Idem in Panegyrico, Εἰς τοσαύτην ταπεινότητα κατεσήσαμεν, ὥστε μακρὸν πλοῖον ἐντὸς Φασήλιδος μὴ καθέλκειν. Idem in Panathenaico. Ἐπὶ γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς ὅτε ἐντὸς Ἅλυος ποταμοῦ πεζῷ καταβαίνειν, ὅτε μακροῖς πλοίοις ἐπὶ τἄνδον πλεῖν Φασήλιδος. Omnino recte. Cyaneae et Phaselis duo erant σημεῖα, sibi inuicem, (ad septentrionem illae in Euxino, haec ad meridiem in mari Pamphylio, quae pars est mediterranei) si longitudinem spectes, opposita; fines nempe, quibus vtrinque Persarum maritimum imperium hoc foedere coerceretur. TAYLOR.

δίκαια ποιήσετε, καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ
ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. ὑμῖν γάρ ἐστιν ὅρκος,
18. ὃν ὀμνύσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ λη-
ξιαρχικὸν γραμματεῖον ἐγγραφῶσιν, καὶ ἔφηβοι
γένωνται, μήτε ἱερὰ ὅπλα καταισχύνειν [33], μήτε
τὴν τάξιν λείψειν, ἀμύνειν δὲ τῇ πατρίδι, καὶ ἀμεί-
νω παραδώσειν. ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φα-
21. νερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον ἡμᾶς ἠδίκηκεν, ἀλ-
λὰ καὶ εἰς τὸ θεῖον ἠσέβηκεν· εἰ δὲ μὴ ὀμώμοκεν,
εὐθὺς δῆλός ἐστι παρεσκευασμένος ἅπαντ' ποιήσειν τῶν
δεόντων. ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ ὑπὲρ τῶν
θεῶν τιμωρήσησθε. βέλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ
24. ὅρκου. λέγε, γραμματεῦ. ΟΡΚΟΣ. Καλός γε,
ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. παρὰ τοῦτον τοίνυν ἅ-
παντα πεποίηκε Λεωκράτης. καίτοι πῶς ἂν ἄν-
θρωπος γένοιτο ἀνοσιώτερος, ἢ μᾶλλον προδότης τῆς
πατρίδος; τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ
27. τις μᾶλλον, ἢ εἰ λαβεῖν μὴ θέλοι, καὶ τὰς πολε-
μίους ἀμύνασθαι [34]; πῶς δ' οὐ καὶ τὸν παραξάτην
καὶ

33. καταισχύνειν] Pro καταισχύνειν et ἀμύνειν, vt edi solet, recte videt H. Stephanus rescribi oportere καταισχυνεῖν et ἀμυνεῖν in futuro, quemadmodum λείψειν scribitur et παραδώσειν. Et hoc certe nemo ibit inficias. TAYLOR.

34. τὰς πολεμίους ἀμύνασθαι] hostis iuuare. Mira sane Interpretatio! Quam vix credas profectam ab homine, qui aetatem suam contriuit in Graecis literis Latine vertendis. Quid statueret, qui ita interpretari soleat, de istis Lysiae, Orat. Funeb. p. 41. Edit. Lond. στασιάζοντας τῆς Ἑλλάδος ὥστινι χρὴ τρόπῳ τοὺς ἐπιόντας

καὶ τὴν τάξιν [35] λέλοιπεν ὁ μηδὲ τάξαι τὸ σῶμα παρασχών; πῆ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν [36] πατρίδα

ἀμύνασθαι? Quid de iſtis p. 72. adu. Simonem. ἐπειδὴ αὐτὸν ἠμυνάμην, ἐκεῖς ἔβαλλέ με λίθοις? Quid de aliis locis propemodum infinitis, vbi vox iſta non de adiuuando, ſed de repellendo ſumitur? TAYLOR.

35. παρασάτην — ὁσίων καὶ ἱερῶν] Haec verba non apparent in iurisiurandi formula modo (ſc. pag. 203.) adducta; cum tamen oportuit, eo quod illa, quae ibi allegat, iam ad Leocratis mores et facta applicat. Adeo vt plus ſubſumat, quam praemiſit. Quod Dialectici aegre tulerint, ſat ſcio. Occurrit autem Formula pleniſſimis, et, credo, conceptis verbis apud I. Stobaeum, Serm. XLI. Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερὰ, οὐδ' ἐγκαταλείψω τὸν παρασάτην, ὅτῳ ἂν συσχήσω. ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων, καὶ μόνος καὶ μετὰ πολλῶν. τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι. καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως, καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ ὅστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως. καὶ ἂν τις ἀναιρῇ τοὺς θεσμοὺς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω. ἀμυνῶ δὲ καὶ μόνος, καὶ μετὰ πάντων, καὶ ἱερὰ τὰ πάτρια τιμήσω. ἴσορρεπεῖ θεοὶ τούτων. Vide eadem fere, pauciſſimis immutatis, apud Pollucem VIII. §. 9. Adiunge autem Petit. L. L. Attic. L. II. Tit. IV. et Meurſ. Athen. Attic. I. 7. TAYLOR.

36. τίνι δ' ἂν etc.] Legit doctiſſimus Weſſelingus ad Petit. p. 232. τίνι δ' ἂν τὴν πατρίδα παρέδωκε μείζονα; προδοσίᾳ γὰρ τὸ τούτου μέρος. κ. τ. λ. TAYLOR.

Non video, quid incommodi inſit in vulgata; niſi quod idem dicit cum verbis verſ. 26. τὶς μᾶλλον προδότης τῆς πόλεως. Weſſelingi coniecturam, ingenio-

30. τρίδα πρὲδωκε μείζονι προδοσίᾳ; τὸ γὰρ τότε μέρος ἐκλελειμμένη, πολεμίοις ὑποχείριός ἐσιν. εἶτα τοῦτον οὐκ ἀποκτενεῖτε τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; τίνας ἂν τιμωρήσεσθε τὲς ἔν τι τούτων ἡμαρτηκότας; ῥᾴδιον ἔσαι παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ Φανεῖσθε ἐπὶ τὲς μᾶλλον μικροῖς
33. ὀργιζόμενοι [37]. καὶ μὴν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημοκρατίαν, ὅρκος ἐσί. τρία γάρ ἐσιν, ἐξ ὧν ἡ πολιτεία συνέσηκεν, ὁ ἄρχων, ὁ δικασὴς, ὁ ἰδιώτης. τούτων τοίνυν ἕκα-

sam profecto, si optes, legendum erit τίνι δ' ἂν ἀμείνω τὴν πατρίδα παρέδωκεν, ὁ παντελῶς ἀφανίσας τῇ ἑαυτοῦ προδοσίᾳ.

37. ἐπὶ τὲς μᾶλλον μικροῖς ὀργιζόμενοι] Ita editur et legitur, ea tamen absurditate, quam nihil vnquam superauit. Sensus est: Qualem Remp. habituri simus, si leuia crimina omni poenarum genere, atrocissima autem nullo, coerceatis? Quis erit, qui non propter spem veniae se ipsum ita comparabit, vt plurima et grauissima peccet? ῥᾴδιον ἔσαι παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ Φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι. TAYLOR.

Videtur sic leg. et distinguendum esse. τίνας ἂν τιμωρήσεσθε; continuatur interrogatio τὲς ἔν τι τότων [quae modo enumeraui a Leocrate peccata] ἡμαρτηκότας, eosne punietis, qui horum vnum aliquid commiserint? si quis autem omnia ea commiserit, eum impune dimittetis. Ergo facile penes vos erit, magna delinquere, si constet, vos ἐπὶ τοῖς μᾶλλον μιαροῖς (aut μισαροῖς) ἧττον ὀργιζόμενοι, minus saeuire in crimina atrociora et odiosiora.

ος ταύτην τὴν πίστιν δίδωσιν. εἰκότως· τοὺς μὲν 36.
γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ
διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων ἀπε-
λύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδι-
κημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορ- 39.
κήσας τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν
τιμωρίαν· ἀλλ' εἰ μὴ αὐτὸς, οἱ παῖδές γε καὶ τὸ
γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχή-
μασι περιπίπτει. διόπερ, ὦ ἄνδρες δικασταί, ταύ-
την τὴν πίστιν ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς πάντες
οἱ Ἕλληνες, ὅτε ἔμελλον παρατάξάμενοι μάχεσθαι 42.
πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες,
ἀλλὰ μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον·
ὃν ἄξιόν ἐστιν [38] ἃ ὅμως ἰσχνῶς ἐστιν ἐν τοῖς γεγραμ-
μένοις

38. ὃν ἄξιόν ἐστιν κ. τ. λ.] Locum vide, quo lutum ipsum non esse lutulentius arbitror. Neque memini me in Veterum libris euoluendis vnquam illuuiem vidisse adeo germanam et meracam. En! verba, vel ostenta potius, diligenter expendite. *ὃν ἄξιόν ἐστιν ἃ ὅμως ἰσχνῶς ἐστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν.* Haec tamen nemo omnium, quos vidi, Scaligero excepto, obelo notauit, nemo omnino medicinam adtulit; et Interpres, quasi nihil esset ὕπυλον, sua qualicunque interpretatione beare voluit. Ego autem primo istud ὃν post ὅρκον facessere iubeo, vicioſum est enim, et originem duxit ab istius vocis terminatione. Cetera complanabo facillime, sic: *ἄξιόν ἐστι δ' ὅμως ἰδεῖν τὴν ἐκείνων ἀρετήν.* Quae in medium irrepserunt, notula est Magistri, qui MStorum varietatem subindicauit, nempe, quosdam pro ὅμως legere ἴσως (ἰσχνῶς

158. 1. μένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν. καί μοι ἀναγίνωσκε
αὐτόν. ΟΡΚΟΣ. „ Οὐ ποιήσομαι περὶ πλείο-
νος τὸ ζῆν τῆς ἐλευθερίας· οὐδὲ καταλείψω τοὺς
ἡγεμόνας, οὔτε ζῶντας, οὔτε ἀποθανόντας· ἀλλὰ
3. τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων
ἅπαντας θάψω. καὶ κρατήσας τῷ πολέμῳ τοὺς
βαρβάρους, τῶν μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλ-
λάδος πόλεων ἐδεμίαν ἀνάστατον [39] ποιήσω, τὰς δὲ
6. τὰ τῶ βαρβάρω προελομένας, ἁπάσας δεκατεύ-
σω· καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ κατα-
βληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω
παντάπασιν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγινομένοις ἐά-
σω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.„
9. Οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ

Aaaaa 3 πάν-

enim vox est putida, et nullibi legitur) h. p. ἴσως ἐσὶν ἐν τοῖς γεγραμμένοις. Scilicet.

ἄξιόν ἐσι δ' ὅμως ἰδεῖν τὴν ἐκείνων ἀρετήν.
Γρ. ἄξιόν ἐσι δ' ἴσως ἰδεῖν τὴν ἐκείνων ἀρετήν.

TAYLOR.

Locum hunc desperatum sic ferme interea, donec certiora e mstis discamus, tolerabilem certe reddás. ὃν ἄξιόν ἐσιν ἀκέειν ὅμως, καίπερ ἰσχνῶς, quod sacramentum dignum nihilominus est audire, tametsi scriptis in literis tantummodo tenuiter est cernere vim eorum.

39. ἀνάστατον] (ἀνάσαντο Ald. quod correxit cum Palmerio H. Stephanus) Tacuit Herodotus de hoc sacramento in narratione belli, quod ad Plataeas contra Persas gestum est, quod mirum videtur, cum tam exacte et sigillatim omnia narrauerit. PALMER.

πάντες, ὥστε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν [40] ἔσχον βοηθόν· καὶ πάντων Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον, μάλισα ἡ πόλις ἡμῶν εὐδοκίμησεν. ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τὰς μὲν προγόνας ἡμῶν ἀποθνήσκειν 12.
τολμᾶν, ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τὰς καταισχύνανταις αὐτὴν, ἀλλὰ περιοράν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην εὐκλειαν, ταύτην διὰ [41] τῶν τοιούτων ἀνδρῶν πονηρίαν καταλυομένην. καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν 15.
τῶν Ἑλλήνων ἐκ ἔξιν ἐδὲν τούτων περιιδεῖν. Βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι, καὶ περὶ τούτων καὶ περὶ ἄλλων βέλτιον βουλεύεσθε. τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ἡμῶν ἀγαθὸν, ὅτι τῶν καλῶν ἔργων παράδει- 18.
γμα τοῖς Ἕλλησι γέγονε. ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. ἐπὶ Κόδρου γὰρ βασιλεύοντος, Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν, ἔδοξε στρατεύειν 21.
ἐπὶ τὴν πόλιν ἡμῶν, καὶ ἡμῶν τοὺς προγόνους ἐξανασήσαντας, κατανείμασθαι τὴν χώραν. καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες, τὸν θεὸν ἐπηρώτων, εἰ ἐπιλήψονται τὰς Ἀθήνας [42]. ἀνελόντος δὲ τοῦ θεοῦ

40. μεθ' ἑαυτῶν — βοηθόν·] Quare autem vtrumque? Cum altera locutio alterius sit glossa, necesse est. TAYLOR.

41. malim διὰ τῆς τῶν τ. ἀ. πονηρίας.

42. εἰ ἐπιλήψονται τὰς ἀθήνας] Num ἐπιλαμβά-

24. τῷ θεῷ αὐτοῖς, ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δὲ, τῶν Δελφῶν τις, πυθόμενος τὸ χρηστήριον, δι' ἀποβρήτων ἐξήγγελε τοῖς Ἀθηναίοις. οὗτος οἱ πρόγονοι ἡμῶν,
27. ὡς ἔοικεν, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὐνοῦς ἔχοντες διετέλουν. ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικὴν, τί ποιοῦσιν οἱ πρόγονοι ἡμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν, ὥσπερ Λεω-
30. κράτης, ᾤχοντο, ἐκ ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν· ἀλλ' ὀλίγοι ὄντες κατακλεισθέντες ἐπολιορκοῦντο, καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα [43]· καὶ ἔτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥστε προηροῦντο ἀπο-
33. θνήσκειν ὑπὲρ τῆς ἀρχομένων [44] σωτηρίας, μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι τὴν χώραν [45]. Φασὶ γοῦν, τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις προσέχειν, ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν στολὴν, ὅπως ἂν ἀπατήσῃ τοὺς πολε-

νεσθαί τινα in vsu Graecis fuerit, pro occupare aliquem, praesertim subito, derepente, in dubio relinquam. Haud equidem commemini. Interim haud celabo lectores, mihi visum aliquando fuisse, leg. esse, εἰ καὶ πῇ λήψονται τ. ἁ. *num, et qua ratione, capturi essent Athenas?*

43. διεκαρτέρουν εἰς τὴν πατρίδα] haec non intelligo: videtur aliquid deesse.

44. τῆς ἀρχομένων] interpono τῶν.

45. τὴν χώραν] malim τινὰ χώραν.

μίας, κατὰ τὰς πύλας ὑποδύντα [46], φρύγανα 36.
συλλέγειν πρὸ τῆς πόλεως· προσελθόντων δ' αὐτῷ
δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου, καὶ τὰ κατὰ τὴν
πόλιν πυνθανομένων, τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι
τῷ δρεπάνῳ προσπεσόντα· τὸν δὲ περιλελειμμένον,
παροξυνθέντα τῷ Κόδρῳ [47], καὶ νομίσαντα πτω- 39.
χὸν εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι τὸν Κό-
δρον. τούτων δὲ γενομένων, οἱ μὲν Ἀθηναῖοι κήρυκα
πέμψαντες ἠξίουν δοῦναι τὸν βασιλέα θάψαι, λέ-
γοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελο-
ποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ, ὡς οὐκ ἔτι 42.
δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν, ἀπεχώρησαν.
τῷ δὲ Κλεομάντει, τῷ Δελφῷ, ἡ πόλις αὐτῷ τε
καὶ ἐκγόνοις ἐν Πρυτανείῳ ἀίδιον σίτησιν ἔδοσαν.
ὁρᾶτε, εἰ ὁμοίως ἐφίλουν τὴν πατρίδα Λεωκράτει οἱ
τότε βασιλεύοντες, οἵ γε προηροῦντο τοὺς πολεμίους 159. I.
ἐξαπατῶντες ἀποθνήσκειν ὑπὲρ αὐτῆς, καὶ τὴν
ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς σωτηρίας ἀντικαταλ-
λάττε-

46. ὑποδύντα] Subaudi τὸ τῶν Φρυγανηλόγων ὁμίλῳ, cum se immiscuisset turbae sarmenta legentium.

47. παροξυνθέντα τῷ Κόδρῳ — ἀποκτεῖναι τὸν Κόδρον] Iterum malam manum agnosco Enarratoris. Quam rotundius hoc et elegantius! τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ, καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι. Ceterum, vt istud notem, ex aliquo scriptore huius historiae procul dubio desumitur istud fragmentum, quod legitur in Suida v. Αδηλώσας. Ὁ δὲ ἀδηλώσας ἑαυτὸν πιαρᾷ σολῇ, καὶ λαβὼν δρέπανον, ὡς ἂν γῆς ἐργάτης. ταχι.

3. λάττεσθαι. τοιγαρῦν μονώταται ἐπώνυμοι τῆς χώρας εἰσὶν, ἰσοθέων τιμῶν τετυχηκότες. εἰκότως· ὑπὲρ ἧς γὰρ ἕτω σφόδρα ἐσπεύδαζον, δικαίως ταύτην καὶ τεθνεῶτες ἐκληρονόμευν· ἀλλὰ Λεωκράτης, οὐδὲ τεθνεὼς, δικαίως ἂν αὐτῆς μετάσχοι, καὶ μα-
6. νώτατος δ' ἂν προσηκόντως ἐξορισθείη τῆς χώρας, ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο. οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν καλύπτειν τοὺς τῇ ἀρετῇ διαφέροντας, καὶ τὸν κάκιστον πάντων ἀνθρώπων. Καίτοι γε ἐπεχείρησεν εἰπεῖν, (ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς
9. ὑμᾶς) ὡς οὐκ ἂν ποτε ὑπομεῖναι[48] τὸν ἀγῶνα τοῦτον, συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ· ὥσπερ οὐ πάντας καὶ τοὺς κλέπτοντας, καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ χρωμένους. ὁ γὰρ τοῦ πράγματος ἐστι σημεῖον, ὡς οὐ πεποιήκασιν, ἀλ-
12. λὰ τῆς ἀναιδείας, ἣν ἔχουσιν. οὐ γὰρ τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν[49], οὐδὲ τὴν πόλιν ἐγκατέλιπεν, οὐδ' ἐν Μεγάροις κατῴκησε· ταῦτά ἐστι τεκμήρια τοῦ πράγματος. ἐπεί γε τὸ ἐλθεῖν τοῦτον,
15. οἶμαι θεῶν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν', ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου τύχῃ, καὶ οὓς προὔδωκε, τούτοις ὑποχείριον αὑτὸν καταστήσειεν. ἑτέρωθι μὲν γὰρ ἀτυχῶν, ὅπου δῆλον, εἰ διὰ ταῦτα δίκην δίδω-

48. ὑπομεῖναι] Legendum arbitror ὑπομείνειε. TAYL.

49. ἐξέπλευσεν] Lectio Aldina erat ἐξέπνευσεν. Pro qua alii reposuerunt ἐξέπεσεν, alii ἐξένευσεν. Verum Stephanica, quam exhibui, est vnice vera. TAYLOR.

σιν. ἐνταῦθα δὲ παρ' οἷς πρέσβωκε, φανερόν ἐσιν, 18.
ὅτι τῶν αὐτῶ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. οἱ γὰρ θεοὶ ἀδὲν πρότερον ποιῶσιν, ἢ τῶν πονηρῶν ἀνθρώπων τὴν διάνοιαν παράγωσι. καί μοι δοκῶσι [50] τῶν ἀρχαίων τινὲς ποιητῶν, ὥσπερ χρησμὸς γράψαντες τοῖς ἐπιγενομένοις [51], τάδε τὰ 21.
ἰαμβεῖα καταλιπεῖν,

Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινὰ,
Τῶτ' αὐτὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν
Τὸν νῶν τὸν ἐσθλὸν, εἰς δὲ τὴν χείρω τρέπει 24.
Γνώμην· ἵν' εἰδῇ μηδὲν, ὧν ἁμαρτάνει.

Τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων, ἢ τῶν νεωτέρων ἐκ ἀκήκοε, Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τῶτον φυγόντα, καὶ τῶ θεῶ τοῦ ἐν 27.
Δελφοῖς ἀκέσαντα, ὅτι ἂν ἔλθῃ Ἀθήναζε, τεύξεται τῶν νόμων [52], ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν καταφυγόντα, καὶ ἀδὲν ἧττον ὑπὸ

τῆς

50. καὶ μὴ δοκῶσι] καὶ μὴ δοκῶκι, καὶ τὰ ἑξῆς, μέχρι τῶ καταλιπεῖν, ἐν ἐρωτήσει. εἰ δὲ μὴ, γράφειν δεῖ, καί μοι δοκῶσι. STEPHAN. hoc posterius probum est, idemque adnotauit Iosephus Scaliger. TAYLOR.

51. τοῖς ἐπιγενομένοις] Satius est fortasse distinguere cum Interprete, ὥσπερ χρησμὸς γράψαντες, τοῖς ἐπιγενομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν. TAYLOR.

52. τεύξεται τῶν νόμων] Non recte intelligo istam phrasin τυχεῖν τῶν νόμων, at τυχεῖν τῶν νομίμων vnaquaque fere pagina occurrit, idque hic et in inferioribus, sc. l. antep. rescribendum esse arbitror. Quoties hac chorda oberrauerint Librarii, diximus ad p. 198. l. 3. TAYLOR.

τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ γὰρ τῶν νό-
30. μων τοῖς ἠδικηκόσι τυχεῖν, τιμωρία ἐστίν. ὁ δέ γε
θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσας τὸν
αἴτιον. δεινὸν γὰρ ἂν εἴη, εἰ ταυτὰ σημεῖα τοῖς εὐ-
σεβέσι καὶ τοῖς κακέργοις φαίνονται [53]. ἡγεῖμαι δ'
ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν πάσας
33. μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα
δὲ τὴν περὶ τὰς γονέας καὶ τὰς τετελευτηκότας,
καὶ τὴν πρὸς αὐτὰς [54] εὐσέβειαν. εἰκότως· παρ' ὧν
γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν, καὶ πλεῖστα ἀ-
γαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν,
36. ἀλλ' ὅτι μὴ ἐνεργοῦντας τὸν αὐτῶν βίον καταναλῶ-
σαι, μέγιστον ἀσέβημά ἐστι. λέγεται ἔν ἐν Σικελίᾳ
(εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑ-
μῖν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ τῆς Αἴτνης
39. ῥύακα πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασιν ἐπὶ τὴν
ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ
κατοικουμένων. τὸς μὲν ἔν ἄλλος ὁρμῆσαι πρὸς φυ-
γήν,

53. φαίνονται] φαίνωνται, ἢ φαίνοιντο. STEPHAN.

Recte quidem istaec Stephanus admonuit, nondum tamen totam rem expediuit. Superest enim adhuc aliquid. φαίνονται, aut φαίνωνται, aut φαίνοιντο, redit ad deos, non ad σημεῖα. Nam si ad haec referretur, et σημεῖα si esset nominatiuus, potius dixisset φαίνηται aut φαίνοιτο, in singulari. Ego vero legi malim φαίνοι in singulari optatiui, *si deus* (Apollo) *edat, ostendat eadem signa*, easdem sortes *bonisque malisque*.

54. αὐτὰς] Restitui hic, et proxime l. 9. spiritum, quo vocem hanc notari in his locis oportuit. TAYL.

γὴν, την αὐτῶν σωτηρίαν ζητοῦντας· ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα, καὶ οὐ δυνάμενον ἀποχωρεῖν, ἀλλὰ ἐγκατα- 42.
λαμβανόμενον, ἀράμενον φέρειν· φορτίου [55] δ' οἶ-

μαι

55. φορτίου] Lege ῥοθίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς ἐγκατελήφθη. Nam ῥόθιον nomen est aptissimum, quod violentiam, impetum et strepitum vndarum significat. PALMER.

Crude hoc et infeliciter sane. Potuit fortasse Iuuenis, leuis et expeditus cum fuerit, euasisse: accedente autem onere, φορτίου προσγενομένου, non solum pater, ἀλλὰ καὶ αὐτὸς ἐγκατελήφθη. Mihi semper res fuit cum iis hominibus, qui locos sanos inficiunt, insanos negligunt. Haec historia, paululum licet immutata, a multis traditur. Inter Catinam et Syracusas certamen est de illustrium fratrum memoria, quorum nomina sibi diuersae partes adoptant. Si Catinensis audiamus, Anapis fuit et Amphinomus: si quod malunt Syracusae, Emantiam putabimus et Critonem. Catinensis tamen regio causam dedit facto, in quam se cum Aetnae incendia protulissent, iuuenes duo sublatos parentes euexerunt inter flammas illaesi ignibus. Horum memoriam ita Posteritas munerata est, vt sepulchri locus nominaretur Campus Piorum. Solinus cap. 5. Πρώτῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆναι, ὅτε καὶ Φιλόνομος καὶ Καλλίας, οἱ Καταναῖοι, τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες. ἀνθ' ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου. τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη, καθ' ὃ μέρος ἐκεῖνοι παρεγίνοντο. Stobaeus Serm. LXXVII. Vid. Aristotelem de Mundo c. VI. Pausaniam in Phocicis p. 663. Edit. Hanou. 1613. Auctorem Poematis de Aetna, sub finem. Strab. l. 6. p. m.

μαι προσγενομένῳ, καὶ αὐτὸς ἐγκατελήφθη. ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. λέγεται καὶ κύκλῳ τὸν τόπον ἐ-
160. 1. κεῖνον περιῤῥεῦσαι τὸ πῦρ, καὶ σωθῆναι τέτταρας μόνους. ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσαγορεῦσαι [56] Τῶν εὐσεβῶν χῶρον. τὰς δὲ ταχείαν τὴν ἀποχώρη-
3. σιν ποιησαμένας, καὶ τὰς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας, ἀπολέσθαι. ὥστε καὶ ὑμᾶς δεῖ τὴν παρὰ θεῶν ἔχοντας μαρτυρίαν, ὁμογνωμόνως τοῦτον κολάζειν τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον ὄντα, κατὰ τὸ ἑαυτοῦ μέρος. τὰς μὲν γὰρ
6. θεὰς τὰς πατρίδας [57] τιμὰς ἀπεσέρηκε, τὰς δὲ γονεῖς τοῖς πολεμίοις ἐγκατέλιπεν, τὰς δὲ τετελευτηκότας τῶν νομίμων ἐκ εἴασε τυχεῖν. καίτοι σκέψασθε, ὦ ἄνδρες· ἐ γὰρ ἀποσήσομαι τῶν παλαιῶν. ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο, ταῦ-
9. τα δικαίως ἂν ὑμεῖς ἀκέσαντες ἀποδέχοισθε. φασὶ γὰρ, Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν, τῆς χώρας ταύτης ἀμφισβητοῦντα· τυ-

269. Valer. Maxim. V. 9. Claudian. Carm. L. de piis fratribus, et eorum Statuis, quae sunt apud Catinam. Ausonium de claris vrbibus, Hyginum, aliosque. De Statuis, quas in Piorum Fratrum memoriam consecrauit Catanensium Ciuitas, vide Carrerae Monum. Histor. Catanens. l. 1. capp. 30. et 50. TAYLOR.

56. malim προσαγορεύεσθαι.

57. τὰς πατρίδας] aut τὰὶς πατρίδις leg. vt redeat ad τιμὰς. aut si masculinum hic recte habet, leg. erit τὰς μὲν γὰρ θεὰς τὰς πατρίδας τὰς προσηκούσας (aut νενομισμένας) τιμὰς ἀπεσέρηκε.

τὰ· τυχεῖν δὲ καὶ κατ' ἐκείνες[58] τὲς χρόνες βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισῦ[59] θυγατέρα. μεγάλε δὲ στρατοπέδου 12.
μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφὲς ἰὼν ἠρώτα τὸν θεὸν, τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τῦ θεῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τῦ συμβαλεῖν τῷ στρατοπέδῳ[60], κρατήσειν τῶν πολεμίων· ὁ δὲ τῷ θεῷ 15.
πειθόμενος, τῦτ' ἔπραξε, καὶ τὲς ἐπιστρατευομένες ἐκ τῆς χώρας ἐξέβαλε. διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ' ὢν ἀγαθὸς ποιητὴς, καὶ τῦτον τὸν μῦθον προείλετο ποιῆσαι[61]·

ἡγέμε-

58. τυχεῖν δὲ καὶ κατ' ἐκείνες] Copula ista parum necessaria καὶ videtur omnino originem traxisse a voce sequente. Tu ergo legendo delebis. TAYLOR.

Copulam si tuebimur, quae videtur vtique tuenda esse, leg. erit τυχεῖν δὲ καὶ ἡμῶν κατ' ἐκείνες τ. χ. vt Eumolpus Thracum fuit rex, ita nostrum [Athenienſium] quoque regem tum fuisse Erechtheum.

59. τὴν Κηφισῦ θυγατέρα] Aliter Apollodorus deducit Praxitheam Erechthei vxorem a Cephiso: non enim eius filiam facit, sed neptem per matrem Diogeniam, Cephisi filiam et Phrasimi vxorem. PALMER.

i. Imperatorem et antea Philippum, poſt pugnam Chaeroneam, anno ante necem, apud Corinthios, elegerant Graeci.

k. Saepius apud LYSIAM occurrit, in media praeſertim forma.

l. Habet DIOSCORIDES, paullo ante natum CHRISTVM, cum recentioribus multis.

m. Eſt et, apud THVCYDIDEM et XENOPHONTEM, animi elati cogitatio, quamquam hic nude, cum HESYCHIO, exponere queamus βέλημα, θέλημα.

n. Id ipſe fecerat Demades, tertium decimum diis maioribus adſcribens.

o. Sic Hanou. ALDVS Λοιπὸν, quo ſenſu, pertinens ad πρόβλημα, conſtructionem περιφραστικὴν haberet.

p. Praetextum, *munimentum*, apud ARISTOPHANEM, ARISTOTELEM, et alios.

q. λεύκτρην] Melius Hanou. Λεῦκτρα. PAVS. I. 29. III. 21. 26. VIII. 27.

r. Senſum adoptat agentem et patientem.

πολεμίας σάλπιγγος Εὐρώτας *s.*, Βοιωτὸς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν *t.* Ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος, καὶ τὸς ὅρους τῆς Λακωνικῆς τεθειμένους, τὴν ἀκμὴν τῶν νέων *u.*, συνέκλεισε ταῖς τέφραις *x.* 26) Τὰς δ' ἡμετέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλπίδα τῶν ζώντων συνέτριψεν ἡ συμφορὰ τῶν ἀποθανόντων. 27) Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν, ἀλλὰ καὶ τὴν παῤῥησιαν ἀφῄρηντο *y.* Τῷ γὰρ Επαμινώνδᾳ σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. *z.* 28) Ηκμαζον δὲ τοῖς σώμασιν οἱ Μακεδόνες, ὃς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ σκῆπτρα καὶ τὰς Περσῶν θησαυρὰς ἡ τύχη διεβίβαζεν *a.* 29) Ενταῦθ' ὁμοίως Δημοσθένης *b.* μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν, οὐ σωτήριον δὲ τοῖς ἔργοις, συμ-

s. Laconiae fluuius, ab Eurota rege dictus. 10. MEVRS. *de regno Lac.* c. I.

t. Edit. *Hanou.* inter variantes habet εἶχεν.

u. Positos illos terminos, vel muros, iactabant Lacones MEVRS. *misc. Lac.* IV. 10.

x. Cineribus. a τύφω deducit *Etym.*

y. Passiuum hoc plusquamperfectum, vt §. 21. potest etiam in sententia manere, et κατὰ intelligi. Sed accipere cogebantur praesidium istud post pugnam Chaeroneam, de qua vid. LYCVRG. ὑποθ. I. DEMOSTH. *de corona* ὑποθ.

z. CORN. *Epam.* fin. IVSTIN. VI. 7. sqq.

a. Cum et Philippus bellum Persicum praeparasset.

b. A nece Philippi, gaudiis exsultans, et adolescentem Alexandrum contemnens.

βελίαν *c.* εἰσηγησάμενος *d.* τοῖς πολίτας. 30) Ὡς δὲ πλησίον ἔση *e.* τῆς Αττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον *f.* καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄσυ, βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις *g.*, καὶ τῶν βοσκημάτων ἐπληρῶτο, βοηθείας δ' ὁδαμόθεν ἦν ἐλπὶς, ἔγραψα τὴν εἰρήνην *h.* 31) Ομολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως πεπραχέναι τοῦτο. Κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος, ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι *i.* 32) Αξιῶ δὲ, ὦ ἄνδρες Αθηναῖοι, τὴν ἐκ τῶν πραγμάτων λύπην *k.* ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. Οὐ γὰρ ἐγὼ κρατῶ τῆς

c. DINARCHS *contra Demoſth.* p. II. 14-20. 25.

d. Al. εἰσηργασάμενος. Hanou. εἰσηγασάμενος.

e. Sc. ὁ πόλεμος. §. 29. vel Alexander.

f. Adiectum ISOCRATEVM, *vrbs digna, de qua contendatur.* conf. LYCVRG. 12, 3-14. 33, 2. 3. et alibi paſſim.

g. Forte paullo recentius voc.

h. Hanc eſſe pacem adparet, qua generalis imperator Graecorum Alexander confirmabatur. v. DIOD. Sic. XVII. 4. 7. NIC. CAVSSINVS de *El. S.* et *H.* I. 34. hunc locum excerpens, poſt maiorem interpunctionem, legit: Εγραψα τοίνυν, εἰ καὶ φημὶ κ. τ. λ. dubito, num errore, pariter alias ibi, praeſertim in Graecis, frequente.

i. Hoc inter ſales nauticos, ad forum translatos, habet FABRICIVS *B. Gr.* IV. 30, 13. ante fin.

k. Cum vos ad auxilia contra Perſas et alia cogeremini.

τῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τῶ βίῳ, δι' ἣν κινδυνεύει *l.* 33) Δεῖ δὲ τὸν σύμβουλον, καθάπερ τὸν ἰατρὸν, οὐ τῆς νόσου τὴν αἰτίαν ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. 34) Καταχωρίσαντες *m.* οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας, ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. 35) Μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπήγετο κίνδυνος πάντων χαλεπώτατος, οὐκέτι *n.* πεμφθεὶς ὑπὸ τῆς τύχης, ἀλλ' ὑπὸ τῶν τότε *o.* ἡητόρων ἐπαχθείς. 36) Καί μοι *p.* τῶν πεπραγμένων ἀναμνήσθητε· ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος *q.* τῷ μὲν λόγῳ *r.* παραταττόμενοι τὲς Μα-

 κεδόνας

l. Propter quam vita periculis obiicitur. conf. LYCVRG. II, 12. DEM. l. c. c. 57.

m. Dum seiunxistis, ac suo loco collocastis: quo sensu XENOPHON adhibet.

n. Non amplius, non porro.

o. Tertium hocce periculum accidisse diu ante videtur; quod tamen, dum a fortuna non reprehensum dicitur, Athenienses respicere debuit orator. Non enim diu cessauit Thebanorum pernicies. At tamen τότε sententiam et adstrictam ferre potest: vt sit potius, ab iis, qui tunc dicebant, quam ab iis, qui tunc viuebant, quod et proxime sequentia demonstrabunt.

p. Mecum recordamini gestorum.

q. Hinc, in primis Demosthenes et Lycurgus, dedendi postulabantur ab Alexandro, quem Demades mitigauit.

r. Verbo, non re.

κεδόνας ἐνίκων ἐν Τριβαλλοῖς *s.* 37) Μόνον *t.* δ' οὐχ ὁρατὸν ἐπὶ τῦ βήματος νεκρὸν τὸν Αλέξανδρον προέθηκαν· ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων τὰς παρόντας φυγάδων *u.*, θυμοὺς ἐπ' ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν *x.* Εμὲ δὲ συγνὸν καὶ περίλυπον *y.* ἔφασκον εἶναι, μὴ συνευδοκοῦντα *z.*

s. In inferiore Moesia. Vicit autem Illyricos ac Triballos Alexander, anno statim primo regni. Hinc εἰρωνικῶς dictum.

t. Sed in solo tribunali, non videndum Alexandrum, quasi mortuum proponebant; cum interim ille res magnas gereret, quem in Thracia defunctum esse fingebant.

u. Ob praesidia Macedonum in arce Cadmea, vt antea factum, Laconibus eam tenentibus. v. DINARCHVS p. 25.

x. Acuerunt. Tunc Thebani quosdam praesidii Macedonum trucidabant. Ideoque, se neutiquam esse mortuum ostendens, Alexander sex mille ciues occidit, hominum triginta millia vendidit vrbem euertit. PAVSAN. IV. 27. VII. 17. IX. 6. DIOD. Sic XVII. 8-14.

y. Torum et omnino tristem, quod Alexander, velut altor Demadis, obiisset.

z. Apud aequales oratori nostro nondum equidem reperi; licet ἀναλογίαν habeat, vt apud LYCVRGVM 35, 15. est συνευπορέω.

FINIS

Annotationum *I. G. Hauptmanni* ad *Demadis* fragmentum.

ANDOCI-

ANDOCIDIS

ORATIONES QVATVOR

CVM ANNOTATIONIBVS

IO. IAC. REISKE.

ΑΝΔΟΚΙΔΟΥ

ΤΟΥ ΡΗΤΟΡΟΣ ΛΟΓΟΙ.

ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ

ΛΟΓΟΣ.

Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν, ὥστε με κακῶς ποιεῖν ἐκ παντὸς τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς ἐπειδὴ τάχιστα ἀφικόμην εἰς τὴν πόλιν ταυτηνὶ, σχεδόν τι πάντες ἐπίστασθε, καὶ οὐδὲν δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δὲ, ὦ ἄνδρες, δεήσομαι ὑμῶν δίκαια, καὶ ὑμῖν γε[1] ῥᾴδια χαρίζεσθαι, καὶ ἐμοὶ ἄξια πολλοῦ τυχεῖν παρ' ὑμῶν. καὶ πρῶτον μὲν ἐνθυμηθῆναι, ὅτι νῦν ἐγὼ ἥκω, ἀδεμιᾶς μοι ἀνάγκης οὔσης παραμεῖναι, εἴτ' ἐγγυητὰς καταστήσας, εἴθ' ὑπὸ δεσμῶν ἀναγκασθείς· πιστεύσας δὲ μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν, γνώσεσθαι τὰ δίκαια, καὶ μὴ περιόψεσθαί με ἀδίκως ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν διαφθαρέντα· ἀλλὰ πολὺ μᾶλλον σώσειν δικαίως, κατά τε τοὺς νόμους τοὺς ἡμετέρους, καὶ τοὺς ὅρκους, οὓς ὑμεῖς ὀμόσαντες μέλλετε τὴν ψῆφον οἴσειν. εἰκότως δ' ἄν,

1. γε] malim τε, ob insequens καὶ. opponuntur inter se ὑμῖν τε — καὶ ἐμοὶ.

ὦ ἄνδρες, τὴν αὐτὴν γνώμην ἔχοιτε περὶ τῶν ἐθελοντῶν εἰς τοὺς κινδύνους καθισαμένων, ἥνπερ αὐτοὶ περὶ αὑτῶν ἔχουσιν. ὁπόσοι μὲν γὰρ μὴ ἠθέλησαν ὑπομεῖναι, καταγνόντες αὑτῶν ἀδικίαν, εἰκότως ἂν καὶ ὑμεῖς τοιαῦτα περὶ αὐτῶν γινώσκοιτε, ὅσα 15.
καὶ αὐτοὶ περὶ σφῶν αὐτῶν ἔγνωσαν· ὁπόσοι δὲ πιστεύσαντες μηδὲν ἀδικεῖν ὑπέμειναν, δίκαιοι ἐσὲ καὶ ὑμεῖς περὶ τούτων τοιαύτην ἔχειν τὴν γνώμην, οἵανπερ καὶ αὐτοὶ περὶ αὑτῶν ἔσχον, καὶ μὴ καταγιγνώσκειν ἀδικεῖν [2]. αὐτίκα ἐγώ, πολλῶν μοι ἀπαγ- 18.
γελόντων, ὅτι λέγοιεν οἱ ἐχθροὶ, ὡς ἄρα ἐγὼ οὔτ' ἂν ὑπομείναιμι, οἰχήσομαί τε φεύγων, Τί γὰρ ἂν καὶ βουλόμενος Ἀνδοκίδης ἀγῶνα τοσοῦτον ὑπομείνοι [3], ἐν ᾧ ἔξεσι μὲν ἀπελθόντι ἐντεῦθεν, ἔχειν πάντα τὰ ἐπιτήδεια, ἔστι δὲ πλεύσαντι εἰς Κύπρον, ὅθεν 21.
περ ἥκει, ἡ πολλὴ [4] καὶ ἀγαθὴ διδομένη καὶ δωρεὰ ὑπάρχουσα [5]· ἔτος ἄρα βουλήσεται περὶ τῷ σώματος τῷ ἑαυτῷ κινδυνεῦσαι; εἰς τί ἀποβλέψας; οὐχ

ὁρᾷ

2. Perinde vſurpatur καταγινώσκειν τινὸς ἀδικεῖν atque ἀδικίαν. v. 5, 20. 7, 34.

3. ὑπομείνοι, ἐν ᾧ] ſuſpicabar aliquando ὑπομείνειεν, ᾧ — non male illud quidem, ſed praeter neceſſitatem. ἐν ᾧ idem eſt atque ὅταν, vel ὅπου.

4. ἡ πολλὴ] leg. γῆ πολλὴ. cui ſit in Cypro praedium amplum.

5. δωρεὰ ὑπάρχουσα] lego δωρεὰν ὑπάρχ. *idque gratuito datum.* dantur multa ex debito, vt mercenariis, alia δωρεὰν, gratuito, honoris et beneuolentiae ergo.

ὁρᾷ τὴν πόλιν ἡμῶν ὡς διάκειται; Ἐγὼ δὲ[6], ὦ ἄν-
24. δρες, πολὺ τὴν ἐναντίαν τούτοις γνώμην ἔχω. ἄλ-
λοθί τε γὰρ ὢν, πάντα τὰ ἀγαθὰ ἔχειν, στερό-
μενος τῆς πατρίδος, ἂν δεξαίμην, τῆς πόλεως
οὕτω διακειμένης, ὥσπερ αὐτοὶ ἐχθροὶ[7] λέγουσι· πο-
λὺ δ' ἂν αὐτῆς μᾶλλον ἐγὼ πολίτης δεξαίμην εἶναι,
27. ἢ ἑτέρων πόλεων, αἳ ἴσως πάνυ μοι δοκοῦσιν ἐν τῷ
παρόντι εὐτυχεῖν· ἅπερ γινώσκων ἐπέτρεψα δια-
γνῶναι ὑμῖν περὶ τοῦ σώματος τοῦ ἐμαυτοῦ. αἰτοῦμαι
δ'[8] ὑμᾶς, ὦ ἄνδρες, εὔνοιαν πλείω παρασχέσθαι
ἐμοὶ τῷ ἀπολογουμένῳ, ἢ τοῖς κατηγόροις· εἰδό-
30. τας, ὅτι κἂν ἐξίσῃ[9] ἀκροᾶσθε, ἀνάγκη τὸν ἀπο-
λογούμενον ἔλαττον ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρό-
νου ἐπιβεβλευσάντες καὶ συνθέντες, αὐτοὶ ἄνευ κιν-
δύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο· ἐγὼ δὲ
μετὰ δέους καὶ κινδύνου, καὶ διαβολῆς τῆς μεγίστης,
33. τὴν ἀπολογίαν ποιοῦμαι. εἰκὸς δ' ἂν ὑμᾶς ἐστιν, εὔνοιαν
πλείω παρασχέσθαι ἐμοὶ, ἢ τοῖς κατηγόροις. ἔτι
δὲ καὶ τόδε ἐνθυμητέον, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ
2. 1. δεινὰ κατηγορήσαντες, παραχρῆμα ἐξηλέγχθη-
σαν ψευδόμενοι ὅτου φανερῶς, ὥστε ὑμᾶς πολὺ ἂν
ἥδιον δίκην λαβεῖν παρὰ τῶν κατηγόρων, ἢ παρὰ
τῶν

6. ἐγὼ δὲ] hic perficitur et absoluitur sententia paulo ante vers. 18. incoepta illis in verbis αὐτίκα ἐγὼ.

7. αὐτοὶ ἐχθροὶ] interpone articulum οἱ.

8. δ' ἂν a Stephano profectum est. in Aldina legitur ἐπὶ. pro quo Scaliger correxit ἔτι.

9. κἂν ἐξ ἴσῃ —] Locus similis est apud Lysiam p. 331. ed. Taylori.

τῶν κατηγορεμένων· οἱ δὲ αὖ μαρτυρήσαντες τὰ
ψευδῆ, ἀδίκως ἀνθρώπους ἀπολέσαντες, ἐάλωσαν 3.
παρ' ὑμῖν * ψευδομαρτυριῶν[10], ἡνίκ' ἀδὲν ἦν πλέον
τοῖς πεπονθόσιν. ὁπότ' ἔν ἤδη πολλὰ τοιαῦτα γεγέ-
νηνται, εἰκὸς ὑμᾶς ἐξι μήπω τὰς τῶν κατηγόρων λό-
γους πιστὰς ἡγεῖσθαι. εἰ μὲν γὰρ δεινὰ κατηγόρηται, 6.
ἢ μή, οἷόν τε γνῶναι ἐκ τῶν τῆ κατηγόρε λόγων· εἰ-
δὲ ἀληθῆ ταῦτά ἐξιν, ἢ ψευδῆ, ἐχ οἷόν τε ὑμᾶς
πρότερον εἰδέναι, πρὶν ἂν καὶ ἐμοῦ ἀκούσητε ἀπολο-
γουμένου.

Σκοπῶ μὲν ἔν ἔγωγε, ὦ ἄνδρες, πόθεν χρὴ ἄρ- 9.
ξασθαι τῆς ἀπολογίας· πότερον ἐκ τῶν τελευταί-
ων, ὡς παρανόμως με ἐνέδειξαν, ἢ περὶ τῆ ψη-
φίσματος τῆ Ἰσοτιμίδε, ὡς ἄκυρόν ἐξιν, ἢ περὶ
τῶν νόμων καὶ τῶν ὅρκων τῶν γεγενημένων· εἴτε καὶ
ἐξ ἀρχῆς ὑμᾶς διδάξω τὰ γεγενημένα. ὃ δέ με 12.
ποιεῖ μάλις' ἀπορεῖν, ἐγὼ ὑμῖν ἐρῶ· ὅτι ἅ πάντες
ἴσως ἐπὶ πᾶσι τοῖς κατηγορεμένοις ὁμοίως ὀργίζε-
σθε, ἀλλ' ἕκαστός τις ὑμῶν ἔχει πρὸς ὃ βέλοιτο ἄν
με πρῶτον ἀπολογεῖσθαι· ἅμα δὲ περὶ πάντων εἰ-
πεῖν ἀδύνατον. κράτιστον ἔν μοι εἶναι δοκεῖ ἐξ ἀρχῆς 15.
ὑμᾶς διδάσκειν πάντα τὰ γενόμενα, καὶ παραλι-
πεῖν μηδέν. ἂν γὰρ ὀρθῶς μάθητε τὰ πραχθέντα,
ῥᾳδίως γνώσεσθ', ἅ με κατεψεύσαντο οἱ κατήγοροι.
τὰ μὲν

10. ψευδομαρτυριῶντες] Lege ψευδομαρτυριῶν. et sic dedi de meo. videtur vulgata ex hac vera, et ex altera quadam, quae etiam in libris olim fuisse videtur, ψευδομαρτυρῶντες, coaluisse.

τὰ μὲν ἓν δίκαια γινώσκειν ἡμᾶς ἡγεῖσθαι, καὶ λό-
18. γους παρεσκευάσθαι[11], οἵσπερ ἐγὼ πιστεύσας ὑπέ-
μεινα. ὁρῶ δ' ὑμᾶς καὶ ἐν τοῖς δημοσίοις καὶ ἐν τοῖς
ἰδίοις περὶ πλείστου τοῦτο ποιουμένους, ψηφίζεσθαι κα-
τὰ τοὺς ὅρκους· ὅπερ καὶ συνέχει μόνον τὴν πόλιν,
ἀκόντων τῶν οὐ βουλομένων. ταῦτα ἕτως ἔχει[12].
21. τάδε δὲ ὑμῶν δέομαι, μετ' εὐνοίας μοι τὴν ἀκρόασιν
τῆς ἀπολογίας ποιήσασθαι· καὶ μήτ' ἐμοὶ[13] ἀντι-
δίκους καταστῆναι, μήτε ὑπονοεῖν τὰ λεγόμενα, μή-
τε ῥήματα θηρεύειν· ἀκροασαμένους δὲ διὰ τέλους
24. τῆς ἀπολογίας, τότε ἤδη ψηφίζεσθαι τοῦθ', ὅ, τι[14]
ἂν ὑμῖν αὐτοῖς ἄριστον καὶ εὐσεβέστατον νομίζητε εἶ-
ναι. ὥσπερ δὲ καὶ προεῖπον ὑμῖν, ὦ ἄνδρες, ἐξ ἀρ-
χῆς περὶ πάντων ποιήσομαι τὴν ἀπολογίαν· πρῶ-
τον μέν, περὶ αὐτῆς τῆς αἰτίας, ὅθεν περ ἡ ἔνδειξις
27. ἐγένετο, διόπερ εἰς τὸν ἀγῶνα τόνδε κατέστην περὶ
τῶν μυστηρίων· ὡς ἔτ' ἐμοὶ ἠσέβηται ἀδὲν, ἔτε με-
μήνυται, ἔθ' ὡμολόγηται· ἔτ' οἶδα τοὺς μηνύσαντας
ὑμῖν περὶ αὐτῶν, ἔτ' εἰ ψευδῆ, ἔτ' εἰ ἀληθῆ ἐμήνυ-
σαν·

11. λόγους παρεσκευάσθαι] videtur interponendum ἀποδέχεσθαι. ego arbitror vos esse paratos eoque animo ad iudicandum accessisse, vt recta statuatis, et orationi [recte docenti] concedatis.

12. βουλομένων. ταῦτα οὕτως ἔχει.] videtur leg. βουλομένων ταῦτα ἕτως ἔχειν. inuitis et ringentibus illis, qui nolunt ista sic se habere.

13. μήτ' ἐμοὶ] sic correxit Stephanus vitium Aldinae μετ' ἐμοὶ.

14. ὅ, τι] affertur e schedis Scaligeri ὅτε. quod quid sibi velit, haud intelligo. Sine dubio vitiosum est.

σαν· ταῦθ' ὑμᾶς διδάξω. Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν, Νικίᾳ καὶ Λαμάχῳ καὶ 30.
Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ στρατηγὶς ἤδη ἐξώρμει ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· „ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε, καὶ παρασκευὴν τοσαύτην, καὶ κίνδυνον αἱρεῖσθαι μέλλετε· Ἀλκιβιάδην δὲ τὸν στρατηγὸν ἀποδείξω ὑ- 33.
μῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ μεθ' ἑτέρων· καὶ ἐὰν ψηφίσησθε ἄδειαν [15], ὡς ἐγὼ κελεύω, θεράπων ὑμῖν ἑνὸς τῶν ἐνθάδε ἀνδρῶν ἀμύητος ὢν ἐρεῖ τὰ μυστήρια. εἰ δὲ μή [16], χρῆσθε ἐμοὶ ὅ, τι ἂν ὑμῖν δο-
κῇ, ἐὰν μὴ τἀληθῆ λέγω.„ ἀντιλέγοντος δὲ Ἀλ- 36.
κιβιάδου πολλά, καὶ ἐξάρνου ὄντος, ἔδοξε τοῖς πρυτάνεσι τὰς μὲν ἀμυήτους μεταστήσασθαι, αὐτὰς δ' ἰέναι ἐπὶ τὸ μειράκιον, ὃ ὁ Πυθόνικος ἐκέλευε [17]. καὶ ὤχοντο· καὶ ἤγαγον θεράποντα Ἀλκιβιάδου Πολέ- 39.
μαρχον [18]. Ἀνδρόμαχος αὐτῷ ὄνομα ἦν. ἐπεὶ δὲ ἐψηφίσαντο αὐτῷ τὴν ἄδειαν, ἔλεγεν, ὅτι ἐν τῇ οἰ-
κίᾳ

15. ἄδειαν] scil. τῷ λέξοντι, aut τῷ καταμαρτυρήσοντι, aut τῷ προαχθησομένῳ ὑπ' ἐμοῦ.

16. εἰ δὲ μή] scil. ἐρεῖ ὑμῖν ὁ θεράπων τὰ μυστήρια, καὶ ὅτως ἐγὼ φανέμαι εἰρηκὼς τὰ ψευδῆ.

17. ὃ ὁ Πυθόνικος ἐκέλευε] videtur h. l. ἐξετάζειν aut βασανίζειν deesse. nisi si accipis pro ἐφ' ὃ ἐκέλευεν ἰέναι.

18. Ἀλκιβιάδου Πολέμαρχον] videtur interponendum esse πρὸς τόν. adducebant Alcibiadis seruum, cui nomen erat Andromacho, ad Polemarchum. ad hunc enim magistratum videtur quaesitio seruorum per tormenta aduersus heros pertinuisse. Aut alias, omisso Ἀλκιβιάδου, leg. erit Πολεμάρχου.

κίᾳ τῇ Πολυτίωνος γίγνοιτο μυσήρια. Ἀλκιβιάδην μὲν ἕν καὶ Νικιάδην καὶ Μέλιτον, τέτες μὲν αὐτὲς
42. εἶναι τὲς ποιῆντας, συμπαρεῖναι δὲ καὶ ὁρᾶν τὰ γινόμενα καὶ ἄλλες· παρεῖναι δὲ καὶ δέλες, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν, καὶ Ἱκέσιον [19] τὸν αὐλητὴν, καὶ τὸν Μελίτε δᾶλον. πρῶτος μὲν ἔτος ταῦτα ἐμήνυσε, καὶ ἀπέγραψε τέτες· ὧν Πολύστρατος μὲν
3. 1. συνελήφθη καὶ ἀπέθανεν, οἱ δὲ ἄλλοι φεύγοντες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε· καί μοι λάβε καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα [20]. „Τέσ-
3. δε Ἀνδρόμαχος ἐμήνυσεν, Ἀλκιβιάδην, Νικιάδην, Μέλιτον, Ἀρχεβιάδην, Ἄρχιππον, Διογένην, Πολύστρατον, Ἀρισομένην, Ἰωνίαν [21], Παναίτιον. „Πρώτη μὲν, ὦ ἄνδρες, μήνυσις ἐγένετο αὕτη ὑπὸ Ἀνδρομάχε κατὰ τέτων τῶν ἀνδρῶν. καί μοι κάλει Διό-
6. γνητον. „Ἦσθα ζητητὴς, ὦ Διόγνητε, ὅτε Πυθόνικος εἰσήγγειλεν ἐν τῷ δήμῳ περὶ Ἀλκιβιάδε; Ἦν. Οἶσθα ἕν μηνύσαντα Ἀνδρόμαχον τὰ ἐν τῇ οἰκίᾳ τῇ Πολυτίωνος γινόμενα; Οἶδα. Τὰ ὀνόματα
9. ἕν τῶν ἀνδρῶν ἐσι ταῦτα, καθ' ὧν ἐκεῖνος ἐμήνυσεν; Ἔσι ταῦτα.„ Δευτέρα τοίνυν μήνυσις ἐγένετο. Τεῦκρος ἦν ἐνθάδε μέτοικος, ὃς ᾤχετο Μεγαράδε ὑπεξελ-

19. Ἱκέσιον] num Ἱκεσίαν. Nam Hicesius est epithetum Iouis. Hicesias autem nomen proprium hominis.

20. post ὀνόματα deest titulus ONOMATA.

21. Ἰωνίαν non est nomen hominis. Sine dubio vocabulum in vitio cubat. Num Ἱππίαν? an Ἰπνίαν?

ελθών. ἐκεῖθεν δὲ ἐπηγγέλλετο [22] τῇ βουλῇ, εἰ οἱ ἄδειαν δοῖεν, μηνύσειν περὶ τῶν μυστηρίων, συνεργὸς ὢν, καὶ τοὺς ἄλλους τοὺς ποιοῦντας μεθ' ἑαυτοῦ, καὶ περὶ τῶν Ἑρμῶν τῆς περικοπῆς ἃ ἤδει. ψηφισαμένης δὲ τῆς βουλῆς (ἦν γὰρ αὐτοκράτωρ) ᾤχοντο ἐπ' αὐτὸν Μεγαράδε· καὶ κομισθεὶς ἄδειαν εὑράμενος, ἀπογράφει τοὺς μεθ' ἑαυτοῦ. καὶ ὅτοι κατὰ τὴν Τεύκρου μήνυσιν ᾤχοντο φεύγοντες. καί μοι λάβε καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν. ONOMATA.

„Τάσδε Τεῦκρος ἐμήνυσε. Φαῖδρον, Γνιφωνίδην, Ἰσόνομον, Ἡφαιστόδωρον, Κηφισόδωρον, ἑαυτὸν, Διόγνητον, Σμινδυρίδην, Φιλοκράτην, Ἀντιφῶντα, Τίσαρχον, Παντακλέα.„ Μέμνησθε δὲ, ὦ ἄνδρες, ὅτι καὶ ταῦθ' ὑμῖν προσομολογεῖται [23] ἅπαντα. Τρίτη μήνυσις ἐγένετο. ἡ γυνὴ [24] Ἀλκμαιονίδαι, γενομένη δὲ καὶ [25] Δάμωνος· Ἀγαρίστη ὄνομα αὐτῇ. αὕτη ἐμήνυσεν, ἐν τῇ οἰκίᾳ τῇ Χαρμίδου τῇ παρὰ τὸν Ὀλύμπιον μυστήρια ποιεῖν Ἀλκιβιάδην καὶ Ἀξιοχον καὶ Ἀδείμαντον· καὶ ἔφευγον ὅτοι πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει. ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίνεσθαι ἐν τῇ οἰκίᾳ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν Θη-

22. ἐπηγγέλλετο] Aldus vitiose ἐπαγγέλ.

23. Num προσωμολόγηται in perfecto.

24. ἐγένετο ἡ γυνὴ] distinxi haec interposito puncto. Post ἡ γυνὴ videtur ἡ νυνὶ deesse, vxor, quae nunc est Alcmaeonidae.

25. καὶ] num γενομένη δὲ ἤδη ποτὲ καὶ Δάμωνος.

ἐν Θημακῷ· καὶ ἀπογράφει τὰς τε ἄλλας, καὶ τὸν πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μὲν, καθεύδειν δὲ ἐγκεκαλυμμένον· Σπεύσιππος δὲ βελεύων παραδί-
27. δωσιν αὐτὰς τῷ δικαστηρίῳ· κἄπειτα ὁ πατὴρ κατασήσας ἐγγυητὰς, ἐγράψατο τὸν Σπεύσιππον παρανόμων γραφήν· καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθηναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων ἐδὲ διακοσίας ψήφους ὁ Σπεύσιππος. ὁ δὲ πείσας
30. καὶ δεόμενος μεῖναι τὸν πατέρα, ἐγὼ ἦν μάλιστα, εἶτα δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. καί μοι κάλει [26] Καλλίαν καὶ Στέφανον, κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλξιππον· οὗτοι γάρ εἰσιν Ἀκαμενῆ καὶ Αὐτοκράτορος συγγενεῖς, οἱ ἔφευγον ἐπὶ τῇ Λυδοῦ μηνύσει.
33. τῷ μὲν [27] ἀδελφιδᾶς ἐστιν Αὐτοκράτωρ, τῷ δὲ [28] θεῖος Ἀκαμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα ἐκείνους, εἰδέναι δὲ μάλιστα, δι' ὅντινα ἔφευγον. βλέπετε [29] εἰς τούτους, καὶ μαρτυρεῖτε, εἰ ἀληθῆ λέγω.

MAP-

26. κάλει, quod Aldinae deeſt, praeter Stephanum Scaliger quoque addidit. Poterat quoque ſic conſtitui, καί μοι Καλλίαν καὶ Στέφανον κάλει. καὶ Φίλιππον (ſine δὲ.) aut ſi δὲ ſervandum cenſeas. καί μοι Καλλίαν καὶ Στ. κάλει. κάλει δὲ καὶ Φίλιππον.

27. τῷ μὲν] Calliae.

28. τῷ δὲ] Stephani.

29. βλέπετε] alloquitur Calliam et Stephanum, hortaturque oculis rectis et fiduciae plenis in hos, iudices puta, intueri.

ΜΑΡΤΥΡΕΣ. Τὰ μὲν γινόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. οὐ γὰρ [30] καὶ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντας τὰς τῶν κατηγόρων λόγους ἐξελέγχειν. ἔλεξαν γάρ, ὡς ἐγὼ μηνύσαιμι περὶ τῶν μυστηρίων, ἀπογράψαιμί τε τὸν πατέρα τὸν ἐμαυτῆ παρόντα, καὶ γενοίμην μηνυτὴς κατὰ τῆ πατρὸς τῆ ἐμαυτῆ· λόγον (οἶμαι) πάντων δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. ὁ μὲν γὰρ ἀπογράψας αὐτὸν [31], Λυδὸς ἦν ὁ Φερεκλέης· ὁ δὲ πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα [32], ἐγώ· πολλὰ ἱκετεύσας, καὶ καταλαμβανόμενος [33] τῶν γονάτων. καίτοι τί ἐβελόμην 35. 39. 42.

30. οὐ γὰρ —] Varia hic in mentem venerunt, vt in loco desperato. e. c. οὐ γὰρ καὶ δίκαιον, τὸν βουλόμενον ἀπολογεῖσθαι κωλύειν, ἀναμιμνήσκοντα (in singulari) τὰς τ. κ. λ. ἐ. Neque enim aequum est, qui se defensum eat, eum impedire, quo minus recitando accusatorum criminationes, vna eas refutet. Vel οὐ γὰρ καὶ δυνατὸν ἀπολογεῖσθαι, εἴ τις μὴ ἐπιτρέπῃ ἀναμιμνήσκοντα. Prorsus se defendere nemo potest, nisi si quis ei veniam det criminationes accusatorum diluendi. Sed has qui diluere vult, necesse quoque habet eas commemorare. Aut εὐσεβὲς γὰρ καὶ δίκαιον.

31. αὐτῶν] dedi αὐτὸν de meo. Et sic reperi quoque in schedis Scaligeri.

32. φεύγοντας] reuocaui φεύγοντα (in singulari) ex Aldina.

33. καταλαμβανόμενος] malim simplex. Dicitur enim λαμβάνεσθαι τῶν γονάτων τινὸς, non καταλαμβάνεσθαι.

λόμην, εἰ ἐμήνυσα μὲν κατὰ τῦ πατρὸς, ὡς ἔτοι
4. 1. φασιν, ἱκέτευον δὲ τὸν πατέρα μείναντα τὶ [34] παθεῖν ὑπ' ἐμῦ; καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν ἐκ ἦν αὐτῷ ἁμαρτεῖν· ἢ γὰρ ἐμὲ δόξαν-
3. τος τὰ ὄντα μηνύσαι κατ' ἐκείνυ, ὑπ' ἐμῦ ἀποθανεῖν· ἢ αὐτῷ σωθέντι, ἐμὲ ἀποκτεῖναι. ὁ γὰρ νόμος ἕτως εἶχεν· εἰ μὲν ταληθῆ μηνύσειέ τις, εἶναι τὴν ἄδειαν· εἰ δὲ τὰ ψευδῆ, τεθνᾶναι. καὶ μὲν δὴ τῦτό γε ἐπίσασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ
6. καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' ἐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τῦ πατρὸς, ἀλλ' ἢ ἐμὲ, ἢ ἐκεῖνον, ἔδει ἀποθανεῖν. φέρε δὴ τοίνυν, εἰ καὶ ὁ πατὴρ ἐβέλετο ὑπομένειν, τὰς Φίλες ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ μένειν, ἢ ἐγγυήσασθαι; ἀλλ' ἐκ ἂν παρ-
9. ραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι, ὅπυ ἂν ἔμελλεν αὐτὸς σωθήσεσθαι, ἐμέ τε ἐκ ἀπολεῖν; ἀλλὰ γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν παρανόμων, αὐτὰ ταῦτα [35] ἔλεγεν, ὡς ἐδεπώποτε ἔλθοι εἰς Θημακὸν, ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι
12. τὰ ἀνδράποδα· καὶ μὴ τὲς μὲν παραδιδόντας μὴ

34. τὶ] hoc τὶ est iteratio redundans praemissi τὶ versu vltimo p. 3. quod solum poterat sufficere. Sed post καὶ ὁ πατὴρ hoc ipso versu 1. malim τὶ iterari, et post ἐπείσθη signum interrogationis poni, vt ἀγῶνα — sint responsio illius interrogationis.

35. παρανόμων, αὐτὰ ταῦτα] num παρανόμων αὐτὸς, ταῦτα.

ἀθέλειν ἐλέγχειν, τὰς δὲ [36] μὴ θέλοντας ἀναγκάζειν [37]. ταῦτα δὲ λέγοντος τοῦ πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ οἵδε [38] λέγουσιν; ἀλλ' ἦ, Ὦ ἄνθρωπε, τί βέλει περὶ θεραπόντων λέγειν; οὐχ υἱὸς οὗτοσὶ μεμήνυκε κατὰ σοῦ; καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε σὺ τὸν πατέρα. ἢ οὐκ ἔστι σοι ἄδεια. ταυτὶ ἔλεγεν ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες, ἢ οὔ; ἐγὼ μὲν οἶμαι. εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ὡς ἐμή ἐστιν, ἢ ἀπογραφὴ [39], μὴ ὅτι ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου

15.

18.

36. τὰς δὲ μὴ] aduerſatiuam, quae deeſt Aldinae, addidit, praeter Stephanum, Scaliger quoque.

37. ἀναγκάζειν] auctor erat iudicibus, vt deſiſterent ab illa inconſtantia et iniquitate ſua, qua ſolerent ſeruos a dominis ad tormenta oblatos, οὐκ ἐθέλειν ἐλέγχειν, nolle coarguere, dominos autem, qui ſeruos ad tormenta exhibere recuſarent, ἀναγκάζειν παραδιδόναι, cogere ad tradendum. Exprobrat iudicibus iniquitatem et inconſtantiam. Si ego ſeruos exhibere recuſarem, cogeretis me. Iam cum eos exhibeam, non vultis in rem inquirere, recuſatis ex iis confeſſionem veri exprimere.

38. Suſpicabar aliquando leg. eſſe εἰ ἀληθῆ σύνοιδε λέγουσιν. *Si conſcius his erat vera dicentibus.*

39. ἔστιν ἡ ἀπογραφὴ] videtur ſic leg. et diſtinguendum eſſe ἔστιν, ἢ ἀπογραφή. *aut deſcriptio.* diſtinguit τὴν ἀπογραφὴν vt rem diuerſam a τῇ μηνύσει. et erant quoque diuerſae res. indicium praecedebat, ſequebatur exhibitio nominum indicatorum in tabula perſcriptorum.

ἄλλε τινὸς κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐν-
ταῦθα ἀναβάς. ἀλλὰ γὰρ λόγον ἀνοσιώτατον [40]
21. καὶ ἀπιστότατον ἀδένα πώποτ' ἐγὼ εἰπόντας οἶδα,
οἳ τοῦτο μόνον ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆ-
σαι· εἰ δ' ἐλεγχθήσονται ψευδόμενοι, ἀδὲν αὐτοῖς [41]
ἐμέλησεν. ὥσπερ οὖν, εἰ ἀληθῆ ἦν ταῦτα, ἃ με
κατηγόρησαν, ἐμοὶ ἂν ὠργίζεσθε, καὶ ἠξιοῦτε δί-
24. κην τὴν μεγίστην ἐπιτιθέναι· ἔτως ἀξιῶ ὑμᾶς, γι-
νώσκοντας, ὅτι ψεύδονται, πονηρόν τε αὐτὸν νομί-
ζειν, χρῆσθαί τε τεκμηρίῳ, ὅτι, εἰ τὰ δεινότατα
τῶν κατηγορηθέντων περιφανῶς ἐλέγχονται ψευ-
δόμενοι, ἥπερ τἆλλα πολλῷ φαυλότερα [42] ῥᾳδίως
27. ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς. αἱ μὲν μηνύσεις [43]
ὧδε περὶ [44] τῶν μυστηρίων αὗται ἐγένοντο τέτταρες· οἱ δὲ ἔφευγον καθ' ἑκάστην μήνυσιν, ἀνέγνων
ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ μάρτυρες μεμαρ-
τυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ πιστότητος ὑμῶν

40. Locum hunc sic lego ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον ἀδένας (in plurali) πώποτ' ἐγὼ εἰπόντας οἶδα τούτων, οἳ τοῦτο μόνον.

41. ἀδὲ νῦν τοῖς] pro τοῖς dant schedae Scaligeri τούτοις. Ego de meo dedi ἀδὲν αὐτοῖς.

42. φαυλότερα] subaudi ὄντα. breuiloquentes illi vetustiores Attici, vt Noster Andocides, Lysias et Thucydides, talia omittunt, quae recentiores sedulo cauent ne vsquam omittant.

43. αἱ μὲν μηνύσεις] Post μὲν aut οὖν aut τοίνυν deesse aliquando suspicabar. Sed Lysias et similes antiqui has copulas amant omittere. v. p. 5. 1.

44. ὧδε περὶ] malim αἱ interponi.

ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω· τῶν γὰρ Φευγόν- 30.
των ἐν [45] τοῖς μυστηρίοις οἱ μέν τινες ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι, καὶ εἰσιν ἐνθάδε, καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐξελέγξαι, ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμέ, ἢ ἐμήνυσα κατ' αὐτοῦ. ἢ οὐχ ἕκαστοι ἔφυγον 33.
κατὰ τὰς μηνύσεις ταύτας, ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με, ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ, τι βούλεσθε· καὶ σιωπῶ, καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται. Φέρε δέ, ὦ ἄνδρες, με- 36.
τὰ ταῦτα τί ἐγένετο; ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων (ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαί· κατὰ δὲ τὸ Πεισάνδρου, μύριαι) περὶ δὲ τούτων [46] ἠμφισβήτουν ἔτοί τε οἱ μηνύσαντες, καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγ- 39.
γεῖλαι· καὶ Ἀνδροκλῆς, ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ τῶν θεσμοθετῶν δικαστηρίῳ τὰς μεμυημένας, ἀκούσαντας τὰς μηνύσεις, ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι· καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Πα- 42.
ναθηναίων τῷ ἀγῶνι, Ἀνδρόμαχος μὲν, μυρίας δραχμάς· Τεῦκρος δὲ, χιλίας. καί μοι κάλει τούτων τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

Περὶ

45. ἐν] Leg. ἐπὶ. Conf. p. 5, 37.

46. περὶ δὲ τούτων] facile δὴ ſubſtituatur in locum δὲ. videtur tamen et hoc quoque poſſe defendi, ex more Latinorum, *ſed* in ſimilibus locis pro *igitur* vſurpandi. *Sed de his* — de quibus nempe diſputare coeperam.

5. 1. Περὶ μὲν τῶν μυστηρίων [47], ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο, καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι, ὡς ἔτε ἠσέβηκα,
3. ἔτε μεμήνυκα περὶ ἀδενὸς, ἔτε ὡμολόγηκα περὶ αὐτῶν· ἀδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ, ἔτε μεῖζον, ἔτ' ἔλαττον, ἀδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστε ἐστὶν ὑμᾶς πεῖσαι. καὶ γὰρ οἱ λόγοι [48] τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λό-
6. γες εἶπον, ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεὼ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. τέτων ἦν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ, καὶ δι' αὐτὸ τῦτο φημὶ δεῖν ἐκείνες μὲν
9. ἀπολέσθαι, ὅτι ἠσέβησαν· ἐμὲ δὲ σώζεσθαι, ὅτι ἀδὲν ἡμάρτηκα. ἢ δεινὸν γὰρ [49] ἂν εἴη, εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς

47. περὶ μὲν τῶν μυστηρίων] Omissio copulae οὖν decet illum πῖνον vetustissimi atticissimi.

48. οἱ λόγοι] pinge οἳ λόγοι. Est enim οἱ hic loci non praepositiuus articulus, sed postpositiuus. Cohaeret cum τέτων οὖν τῶν λόγων — v. 7. Fuisset vtique concinnius καὶ γὰρ ἐν οἷς λόγοις οἱ κατήγοροι, ταῦτα τὰ δεινὰ ἀνορθιάζοντες, εἶπον, οἷα ἔπαθεν ἕκαστος τῶν πρότερον τὰ αὐτὰ ἁμαρτόντων — verum in his vetustis scriptoribus limata et tersa oratio frustra requiratur. Durum vtique οἱ λόγοι — εἶπον λόγες — sed ferenda sunt haec in huiusmodi scriptoribus ἀκόμψοις. Loci huius intelligentia e Lysiae orat. in Andocidem est petenda.

49. γὰρ] malim γ' ἄν.

ἐμὲ διαβολήν, εἰδότες, ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας ἡγήσεσθε [50]. δῆλον ὅτι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρ- 12.
τήματα οὐκ ἔστιν ἀπολογία, ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν [51]. ἐμοὶ δὲ ὁ ἔλεγ-
χος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτέμενον σωθῆναι, ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ' [52]
ἐλέγχοντα τὰς τῶν κατηγόρων λόγους. καὶ ὑμᾶς 15.
ἀναμιμνήσκω [53] τὰ γεγενημένα, οἵτινες ὅρκους [54]
μεγάλους ὀμόσαντες, οἵσετε τὴν ψῆφον περὶ ἐμοῦ· καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς, ὑμῖν τε αὐτοῖς καὶ πᾶσι τοῖς ὑμετέροις αὐτῶν, εἰ μὴ ψηφιεῖσθε περὶ ἐμοῦ τὰ δίκαια· πρὸς δὲ τούτοις μεμύησθε καὶ 18.
ἑωράκατε τοῖν θεοῖν τὰ ἱερά· ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι, τοὺς μηδὲν ἠδικηκότας ἀσεβεῖν καταγνῶναι, ἢ τοὺς ἠσε- 21.
βηκότας μὴ τιμωρεῖσθαι. ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλ-
λον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν [55] ἐπισκή-
πτω, ὑ-

50. ἡγήσεσθε] malim ἡγήσαισθε, ob praecedens ἐργίζοισθε.

51. εἰδόσι] ſcil. τὰ μυστήρια.

52. ἀλλὰ] ſubaudi a communi δεῖ σωθῆναι.

53. ἀναμιμνήσκω] malim ἀναμιμνήσκοντα. in participio. vt ἐλέγχοντα.

54. Verba οἵτινες ὅρκους ad τὰ ἱερὰ verſu 19. pro parentheticis accipienda ſunt. Nam ἵνα τιμωρήσητε cohaeret cum ἀναμιμνήσκω ὑμᾶς.

55. πρὸς τοῖν θεοῖν] aut πρὸς ταῖν θεαῖν leg. eſt, aut ſaltim πρὸς ταῖν θεοῖν, ſi non a θεὰ, ſed a θεὸς

πτω[56], ὑπέρ τε τῶν ἱερῶν, ἃ ἴδετε, καὶ ὑπὲρ τῶν Ἑλ-
λήνων, οἳ τῆς ἑορτῆς[57] ἕνεκεν ἔρχονται δεῦρο· εἰ μέν
24. τι ἠσέβηκα, ἢ ὡμολόγηκα, ἢ ἐμήνυσα κατά τινος ἀν-
θρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ πα-
ραιτοῦμαι. εἰ δὲ ἀδίκως ἠμάρτηταί μοι[58], καὶ τοῦτο ὑμῖν
ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς
Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶ-
27. να κατέστην. ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον
μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κη-
φήσιος[59] ἔτσοὶ, ἐκ ἔξεστιν αὐτῷ εἰς τὸ ἱερὸν τοῖν
θεοῖν εἰσιέναι· ἢ ἀποθανεῖται. εἰ δέ μοι δοκῶ ὑμῖν ἱκα-
νῶς περὶ τούτων ἀπολογεῖσθαι, δηλώσατέ μοι· ἵνα
30. προθυμότερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς, καὶ
τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ
ποιήσω. ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ
33. γεγενημένα. ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδει-
αν εὑρόμενος, μηνύει περί τε τῶν μυστηρίων, ἃ
ἤδει[60], καὶ τῶν περικοψάντων τὰ ἀναθήματα· καὶ

communis generis repetere velis. Saltim articulus debebit genus foemininum indicare. Ceres enim et Proserpina hic significantur. Et sic quoque versu 29.

56. ἐπισκήπτω] sic correxit H. Stephanus vitium Aldinae ἐπισκέπτω.

57. τῆς ἑορτῆς] Sacrorum Eleusiniorum puta.

58. ἥμαρται] correxi ἡμάρτηται.

59. κηφήσιος] πότερον κηφίσιος, ὡς γράφεται ἀλλαχοῦ. STEPHANVS in marg.

60. ἃ ἤδει] articulum, qui deest Aldinae, addidit Stephanus e. p. 3, 13.

ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ
οὗτοι[61] ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες
ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον, κατὰ τὴν 36.
Τεύκρα μήνυσιν. καί μοι ἀναγνωθι αὐτῶν τὰ ὀνό-
ματα. ΟΝΟΜΑΤΑ. „Τεῦκρος ἐπὶ τοῖς Ἑρ-
μαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμα-
χον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριπ- 39.
πον, Θεόδωρον, Ἀλκισθένην, Μενέστρατον, Εὐριξί-
μαχον[62], Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα,
Μέλιτον, Τιμάνθην, Ἀρχίδαμον, Τελένικον. „Τού-
των τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκασι, καί εἰσιν ἐνθά-
δε· τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· 42.
ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐ-
λεγξάτω, ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀν-
δρῶν, ἢ ὡς ἀπέθανεν. ἐπειδὴ δὲ ταῦτα ἐγένετο,
Πείσανδρος καὶ Χαρικλῆς, ὄντες μὲν τῶν ζητητῶν,
δοκοῦντες δ' ἐν ἐκείνῳ τῷ χρόνῳ εὐνόστατοι εἶναι τῷ 61.
δήμῳ, ἔλεγον ἔν, ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα ὑπ
ὀλίγων ἀνδρῶν, ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει,
καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ πό- 3.
λις οὕτω διέκειτο, ὥστ', ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βου-
λευτήριον ὁ κήρυξ ἀνείπῃ[63] ἰέναι, καὶ τὸ σημεῖ-
ον κα-

61. ἐπειδὴ οὗτοι] malim aut ἐπεὶ δὲ οὗτοι, aut ἐπει-
δὴ δὲ οὗτοι.

62. Εὐριξίμαχον] πότερον Ἐρυξίμαχον STEPHA-
NVS in margine.

63. ἀνείπῃ] aut cum simplici εἴπῃ est mutandum,
aut ἄν εἴπῃ leg. duobus vocabulis. tum pro ἰέναι sim-
plici malim ἀνιέναι.

ον [64] καθέλῃ, τῷ αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ' [65] ἐκ τῆς ἀγορᾶς ἔφυγον,
6. δεδιότες εἷς ἕκαστος, μὴ συλληφθείη. ἐπαρθεὶς δ' ἂν τοῖς τῆς πόλεως κακοῖς, εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλὴν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι τῷ πράγματι ἔλεγε. καὶ τότοις, ὦ
9. ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν, ἀναμιμνήσκεσθαι ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους. ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρες ἔστε. ἔφη γὰρ εἶναι μὲν ἀνδράποδον οἱ ἐπὶ Λαυρείῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν.
12. ἀναστὰς δὲ [66] πρωΐ, ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν, ὁρᾷν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ ὠδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν. δείσας δὲ αὐτοὺς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι, με-
15. ταξὺ τοῦ κίονος καὶ τῆς σκήνης, ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾷν δὲ ἀνθρώπους τὸν ἀριθμὸν τριακοσίους, ἑσάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας· τοὺς δὲ, ἀνὰ εἴκοσι. ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα, τῶν πλείστων γινώσκειν. καὶ πρῶ-
18. τον μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα

64. σημεῖον] signum, quod quamdiu esset sublatum, concio manebat, detracto autem, concio dissoluta erat. Tale quid etiam apud Romanos in comitiis obtinebat.

65. οἱ δὲ] subaudi ἄλλοι πολῖται.

66. δὲ] malim οὖν.

μαι (οἶμαι), ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βέλοιτο Ἀθηναίων φάναι τῶν ἀνδρῶν τέτων εἶναι, ὅντινα δὲ μὴ βέλοιτο, λέγειν, ὅτι ἐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ Λαυρεῖον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκέειν, ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι. γνῶναι δ' ἂν εὐθὺς, ὅτι τέ- 21.
των εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἦκον δὲ εἰς ἄστυ, ζητητάς τε ἤδη ἠρημένες καταλαμβάνει [67], καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον τὸν Καλλίᾳ τῷ Τηλεκλέες ἀδελφὸν ἐν τῷ χαλκείῳ [68] καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον, λέ- 24.
γειν ἅπερ ὑμῖν ἐγὼ εἰρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ τῇ νυκτί· οὔκεν δέοιτο παρὰ τῆς πόλεως χρήματα λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλες· εἰπεῖν δ' ἂν τὸν Εὔφημον, ὅτι καλῶς ποιήσειεν εἰπών· καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου 27.
οἰκίαν, ἵνα ἐκεῖ συγγένηται μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις, οἷς δεῖ. ἥκειν [69] ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν

67. καταλαμβάνει] malim infinitiuum καταλαμβάνειν, vt praecedentia et insequentia, est enim haec obliqua oratio narrantis.

68. χαλκεῖον est h. l. porticus illa (*Halle*, aut *Bazar*) vbi venibant olim ollae aeneae, serae, supellex omnis, aere aut ferro facta a fabris serariis atque bracteārum cusoribus. Nisi potius est officina fabrilis seraria, cuius dominus Euphemus ille fuisse videtur.

69. δεῖ ἥκειν] disiunxi haec interponendo punctō. nam in verbo δεῖ desinit oratio Euphemi. tum rursus incipit obliqua oratio, seu expositio Dioclidis. Venisse se, aiebat, (nempe Dioclides) v. versu 36. et 39.

πτειν τὴν θύραν. τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτὸν [70], Ἆρά γέ σε οἵδε περι-
30. μένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιέτες φίλες. εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι· καὶ τέτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα με ἀπώλυε, συνειδότα ἀποφαίνων. εἰπεῖν δὲ ἡμᾶς, ὅτι δεδογμένον ἡμῖν εἴη, δύο μὲν τάλαντα ἀργυρίε διδόναι οἱ ἀντὶ τῶν ἑκα-
33. τὸν μνῶν τῶν ἐκ τῦ δημοσίε· ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ βελόμεθα [71], ἕνα αὐτὸν [72] ἡμῶν εἶναι. πίσιν δὲ τέτων δῦναί [73] τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς πρὸς ταῦτα, ὅτι βελεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίε τῦ Τηλε-
36. κλέες, ἵνα κἀκεῖνος παρείη. τὸν δ' αὖ κηδεσήν μου ἔτως ἀπώλυεν. ἥκειν ἔφη εἰς Καλλίε, καὶ καθοδηγήσας [74] ἡμῖν πίσιν δῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένες οἱ τὸ ἀργύριον εἰς τὸν εἰσιόντα μῆνα δώσειν, διαψεύδεσθαι, καὶ οὐ διδόναι. ἥκειν ἕν
39. μηνύσων τὰ γενόμενα. ἡ μὲν εἰσαγγελία αὐτῶν [75], ὧ ἄν-

70. αὐτὸν] malim πρὸς αὐτὸν. patrem meum dixisse ad sese, Diocliden puta.

71. βελόμεθα] malim aut βελοίμεθα, in optatiuo, aut βελώμεθα, in coniunctiuo.

72. αὐτῶν] dedi de meo αὐτὸν. Summa rerum vbi potiti fuerimus, nos se quoque, Diocliden puta, in collegium nostrum cooptaturos esse.

73. δοῦναι] aptus est hic infinitiuus, cum proximo δέξασθαι, e δεδογμένον ἡμῖν εἴη versu 32.

74. καθοδηγήσας] cum viam nobis subsequentibus praeisset in Acropolin.

75. αὐτῶν] imo vero αὐτῷ. Ei, Dioclidi, haec

ὦ ἄνδρες', τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν, ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα. πρώτους μὲν Μαντίθεον [76] καὶ Ἀψεφίονα [77], βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον [78]· εἶτα δὲ καὶ τοὺς ἄλλους. ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν 42.
τὸ ἐπὶ Σκαμανδρίᾳ [79] ψήφισμα, καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσαι, πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν ἡ βουλή, ὡς εὖ λέγει. ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ Ἀψεφίων, ἐπὶ τὴν ἑσίαν [80] 7. 1.
ἐκαθέζοντο, ἱκετεύοντες μὴ σφεβλωθῆναι, ἀλλ' ἐξεγγυηθέντας κριθῆναι. μόλις δὲ [81] τούτων τυχόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες, ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες [82], καταλιπόντες τοὺς ἐγγυητάς, ὃς ἔδει τοῖς αὐτοῖς ἐνέχεσθαι, ἐν οἷσπερ οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ ἐξελθοῦσα [83] ἐν ἀποῤῥήτῳ, συνέλαβεν ἡμᾶς, 3.

erat denunciatio. h. e. hoc modo denunciauit nos Dioclides.

76. μαντίθεον] prima ſyllaba deeſt Aldinae.

77. ἀψεφίονα] vbique ſcribe ΑΦεψίονα.

78. ἔνδον] id eſt ἐν τῷ βουλευτηρίῳ.

79. Scamandrii decretum videtur interdixiſſe, ne quis ciuis Athenienſis tormentis ſubiiceretur.

80. ἑσίαν] aram Veſtae, quae in aditu Curiae vel Senaculi erat, ad quam etiam Theramenes confugit.

81. δὲ deeſt Aldinae.

82. malim αὐτομολήσοντες in futuro.

83. malim ſic diſtingui ἐξελθοῦσα, *cum eſſet e Sena-*

6. μᾶς, καὶ ἔδησεν ἐν τοῖς ξύλοις. ἀνακαλέσαντες δὲ τὸς στρατηγὸς, ἀνεπεῖν ἐκέλευσαν, Ἀθηναίων τὸς μὲν ἐν ἄστει οἰκοῦντας, ἰέναι εἰς τὴν ἀγοράν, τὰ ὅπλα λαβόντας· τὸς δ' ἐν μακρῷ τείχει, εἰς γε Θησεῖον [84]· τὸς δ' ἐν Πειραιεῖ, εἰς τὴν Ἱπποδαμίαν
9. ἀγοράν. τὸς δ' ἱππεῖς ἔτι νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ Ἀνάκειον· τὴν δὲ βουλὴν εἰς ἀκρόπολιν ἰέναι [85], κἀκεῖ καθεύδειν· τὸς δὲ πρυτάνεις, ἐν τῇ θόλῳ. Βοιωτοὶ δὲ, πεπυσμένοι τὰ πράγματα, ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν δὲ
12. τῶν κακῶν τούτων αἴτιον Διοκλείδην, ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἤγον εἰς τὸ πρυτανεῖον στεφανώσοντες, καὶ ἐδείπνει ἐκεῖ. πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν πάρεστε, ἀναμιμνήσκεσθε, καὶ τὸς ἄλλους διδάσκετε. εἶτα δέ μοι
15. τὸς πρυτάνεις εἰσκάλει τὸς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τὸς ἄλλους [διδάσκετε [86].] ΜΑΡΤΥΡΕΣ. Φέρε δὴ, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι τῶν ἀνδρῶν, ὃν ἔγραψεν [87]. ἵν' εἰδῆτε, ὅσους μοι

culo egressus, ἐν ἀποβρήτῳ συνέλαβεν ἡμᾶς *clam nos corripuit*. Sed verti aliter.

84. εἰς γε Θησεῖον] pro particula γε malim articulum τὸ.

85. ἰέναι] Ald. εἶναι.

86. vocabulum διδάσκετε tollendum est, vt perperam e versu 14. iteratum, ideoque vncis inclusi.

87. ἔγραψε] non improbo. Sed ἀπογράφειν in ea re verbum est proprium.

μοι τῶν συγγενῶν ἀπώλυε [88]. πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν [89]· τὸν μὲν συνειδότα ἀποδεικνὺς, τῷ δ' ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα, καὶ αὐτοῖς ἀναγίνωσκε. Χαρμίδης Ἀριστοτέλους· ἕτος ἀνεψιὸς ἐμός. ἡ μήτηρ ἐκείνου, καὶ ὁ ἐμὸς πατὴρ, ἀδελφοί· Ταυρέας. ἑτοσὶ ἀνεψιὸς τοῦ πατρός· Νισαῖος, υἱὸς Ταυρέου· Καλλίας ὁ Ἀλκμαίονος, ἀνεψιὸς τοῦ πατρός· Εὔφημος, Καλλίου τοῦ Τηλεκλέους ἀδελφός· Φρύνιχος ὁ ἐρχησάμενος, ἀνεψιός [90]· Εὐκράτης, ὁ Νικίου ἀδελφὸς, κηδεστὴς ἕτος Καλλίου· Κριτίας [91] ἀνεψιός [Εὐκρατίας, ὁ Νικίου ἀδελφὸς,] καὶ ἕτος τοῦ πατρὸς. αἱ μητέρες [92] ἀδελφαί. τούτους ἅπαντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν [93]. ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ, καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον

88. ἀπώλυε] perditum iuit, peſſumdare laborauit.

89. κηδεστὴν] Calliam, meae ſororis maritum.

90. ὁ ἐρχησάμενος ἀνεψιὸς] Num ὁ ἐρχιεὺς, ἐμὸς ἀνεψιὸς. an ὁ ἀρχεβιάδου, ἐμὸς ἀν. an ὁ ἀκαμενοῦ ἀνεψιὸς. Acumenus aliquoties ante fuit nominatus.

91. Vocabula Εὐκρατίας ὁ Νικίου ἀδελφὸς vt amputanda vncis incluſi. liquet enim perperam e proximo eſſe iterata.

92. αἱ μητέραι] dedi αἱ μητέρες. mallem tamen adhuc γὰρ addi. αἱ γὰρ μητέρες ἀδελφαί. Stephanus in margine haec dedit πότερον, τοῦ πατρὸς ἀνεψιὸς. αἱ μητέρες ἀδελφαί.

93. ἀπέγραψεν] ſic correxit Stephanus Aldinae ἐπέγρ.

ριον συνεκέκλειστο, ἦκον δὲ τῷ μὲν μήτηρ, τῷ δὲ ἀ-
27. δελφὴ, τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά· λέγει πρός με Χαρμίδης, ὧν μὲν ἀνεψιὸς, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδὸς, „ὅτι, Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ῥᾴδιος τὸ μέγε-
30. θος ἐγὼ δ' ἐν μὲν τῷ παρελθόντι χρόνῳ ἐδεῖν ἐδεόμην λέγειν, οὐδέ σε λυπεῖν· νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παρεῦσαν ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, ἤτοι ἐπὶ
33. ταῖς αἰτίαις, δι' ἃς ἡμεῖς ἀπολύμεθα, οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν. εἰ ἥκεσάς [94] τι τότε τῶν πράγματος τῶ γενομένῳ, εἰπέ [95]. καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα, ὃν εἰκὸς ἐστί σε
36. μάλιστα φιλεῖν· εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφὴν, ἥπερ σοι μόνη ἐστίν· ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους, τοσούτους ὄντας. ἔτι δὲ ἐμὲ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ
39. πράγματα εἰμὶ, ὅ, τι ἂν δέοι ποιεῖν. „Λέγοντος δὲ, ὦ ἄνδρες, Χαρμίδου ταῦτα, ἀντιβολόντων δὲ τῶν ἄλλων, καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν· Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών. πότερα περιίδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολ-

94. εἰ ἥκεσας] interpone οὖν aut τοίνυν.

95. πράγματος τῶ γενομένῳ, εἰπὲ] distinguo et lego sic πράγματος, τὰ γενόμενα εἰπέ. v. p. 8, 10. et 20.

ἀπολλυμένες ἀδίκως, καὶ αὐτές τε ἀποθανόντας 42
καὶ τὰ χρήματα αὐτῶν δημευθέντα; πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις, ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν, τὰς ἀδενὸς αἰτίους τῶν γεγενημένων; ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως ἀπολεῖσθαι, τὴν δὲ πόλιν ἐν κακοῖς ὄσαν τοῖς μεγίστοις, καὶ 8. 1.
ὑποψίαν εἰς ἀλλήλους ἔχοντας· ἢ εἶπω Ἀθηναίοις, ἅπερ ἤκουσα Εὐφιλήτε αὐτῷ τῷ ποιήσαντος; ἔτι δὲ ἐπὶ τούτοις καὶ τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλο- 3.
γιζόμην πρὸς ἐμαυτὸν τὰς ἐξημαρτηκότας, καὶ τὸ ἔργον ἐργασαμένας, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ Τεύκρε μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο, καὶ αὐτῶν θάνατος κατέγνωστο· τέτταρες δὲ ἦσαν ὑπόλοιποι, οἳ ἐκ ἐμηνύθησαν ὑπὸ Τεύκρε 6.
τῶν πεποιηκότων· Παναίτιος, Χαιρέδημος, Διάκριτος, Λυσίστρατος· ἃς εἰκὸς ἦν ἀπάντων μάλιστα δοκεῖν εἶναι, τούτων τῶν ἀνδρῶν, οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας, τῶν ἀπολωλότων ἤδη· καὶ τοῖς μὲν οὐδέπω βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰ- 9.
κείοις φανερὸς ὄλεθρος [96], εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα. ἐδόκει ἔν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατελήλυθασι καὶ ἔχουσι τὰ σφέτερα αὐ- 12.
τῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιιδεῖν. εἰ δέ τινι ὑμῶν, ὦ ἄνδρες, τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρεισήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ

ἐμή-

96. φανερὸς ὄλεθρος] interpono articulum ὁ, ob praecedens ἔπω βέβαιος ἦν ἡ σωτηρία.

ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖ-
15. νοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην (ἃ ἐλογοποίουν
οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν με) σκο-
πεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν γὰρ ἐμὲ
μὲν λόγον διδόναι [97] τῶν ἐμοὶ πεπραγμένων μετὰ
τῆς ἀληθείας, αὐτῶν παρόντων, οἵπερ ἥμαρτον καὶ
18. ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ ἄριστα, εἴτε
ψεύδομαι, εἴτε ἀληθῆ λέγω. ἔξεστι δὲ αὐτοῖς ἐλέγ-
χειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἔφημι. ὑμᾶς δὲ
δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γάρ, ὦ ἄνδρες, τοῦ-
δε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι μοι δοκεῖν [98]
21. καλὸν εἶναι· εἶτα δὲ καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν,
ὅτι ἔστε μετὰ κακίας, ἔστε μετὰ ἀδικίας ἀδεμιᾶς τῶν
γεγενημένων πέπρακται ὑπ' ἐμοῦ ἑκόν, ἀλλὰ διὰ
συμφορὰν γεγενημένην, μάλιστα μὲν τῇ πολιτείᾳ [99]
τε καὶ ἡμῖν, εἶπον δὲ, ἃ ἤκουσα Εὐφιλήτου· προ-
24. νοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ
τῆς πόλεως ἁπάσης, μετ' ἀρετῆς [100], ἀλλ' ἐ μὴν
κακίας [1], ὡς ἐγὼ νομίζω. εἰ ἔν ἔτως ἔχει ταῦτα,

97. λόγον διδόναι] interpone δεῖ.

98. σωθέντι μοι δοκεῖν] pro media voce lego μὴ. v. verſu 26.

99. Fort. μάλιστα μὲν τῇ πολιτείᾳ, εἶτα δὲ καὶ ἡμῖν.

100. πόλεως ἁπάσης, μετ' ἀρετῆς] aut ἁπάσης eſt iterandum, ad hunc modum πόλεως ἁπάσης, ἁπάσης μετ' ἀρετῆς. aut ſaltim ſic eſt diſtinguendum πόλεως, ἁπάσης μετ' ἀρετῆς.

1. ἀλλ' ἐ μὴν κακίας] pro tertia voce aut μὴ eſt ſufficiendum, aut μηδεμιᾶς, aut leg. ἀλλὰ μὴ κακίας.

σώζεσθαί τε αἰξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. Φέρε δὴ (χρὴ γὰρ, ὦ ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα [2] ἐν τῇ συμφορᾷ) τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυεῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι, ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν, κακίαν εἶναι τὰ λεγόμενα [3]· (καίτοι πολλοὶ ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν·) ὅπῃ δὲ [4] τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν, αὐτῷ τε [5] αἴσχιστα ἀπολέσθαι, μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιϊδεῖν ἀπολέμενον, καὶ τὸν κηδεστὴν, καὶ τοὺς συγγενεῖς, καὶ ἀνεψιοὺς τοσούτους, οὓς ἀδεὶς ἀπώλυεν, ἢ ἐγὼ, μὴ εἰπὼν, ὡς ἕτεροι ἥμαρτον. Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία δὲ αὐτῶν ἄλλη ἀδεμία ἦν, ἢ πυθέσθαι Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς ὃν αὐτῶν ἐγινόμην ἐγὼ, μὴ εἰπὼν ὑμῖν, ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους Ἀθηναίων ἀπώλ-

2. αὐτὸν ὄντα] subaudi τινα, aut ἕκαστον ὑμῶν e proximo verſu.

3. τὰ λεγόμενα] ea, quae adhuc a me dicta et enarrata ſunt. malim tamen τὰ γενόμενα. a me facta, facinus meum.

4. ὅπῃ δὲ] apodoſis huius ſententiae per longiſſimas ambages circumductae eſt verſu antep. in verbis ταῦτα δὲ πάντα σκοπῶν, vbi δὲ inſeruit ſolummodo reſumendae orationi.

5. Si τε ſeruatur, addendum erit καὶ verſu proximo 32, poſt ἔτι δὲ.

πώλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγίνε-
το. ταῦτα μὲν ἂν [6], ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ
ὄντα, αὐτός τε ἐσωζόμην, καὶ τὸν πατέρα ἔσωζον
39. καὶ τὰς ἄλλας συγγενεῖς· καὶ τὴν πόλιν ἐκ Φόβε [7]
καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. Φυγάδες δὲ
δι' ἐμὲ τέτταρες ἄνδρες ἐγίνοντο, οἵπερ καὶ ἥμαρ-
τον. τῶν δ' ἄλλων οἱ λοιποὶ πρότερον ὑπὸ Τεύκρου
ἐμηνύθησαν. ἔτε δήπε οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλ-
42. λον ἐτέθνασαν, ἔτε οἱ φεύγοντες μᾶλλον ἔφευ-
γον. ταῦτα δὲ πάντα σκοπῶν, εὗρισκον, ὦ ἄνδρες,
τῶν παρόντων κακῶν ταῦτα ἐλάχιτα εἶναι, εἰπεῖν
τὰ γενόμενα ὡς τάχιτα, καὶ ἐλέγξαι Διοκλείδην
ψευσάμενον, καὶ τιμωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς
9.1. μὲν ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦ-
τα δὲ ποιῶν, μέγιτος εὐεργέτης ἐδόκει εἶναι, καὶ
χρήματα ἐλάμβανε. διὰ ταῦτα εἶπον ἂν [8] τῇ βε-
3. λῇ, ὅτι εἰδείην τὰς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ
γενόμενα· ὅτι εἰσηγήτατο μὲν πινόντων ἡμῶν [9] ταύ-
την τὴν βελὴν γενέσθαι Εὐφίλητος, ἀντεῖπον δὲ
ἐγώ. καὶ τότε μὲν ἃ γένοιτο δι' ἐμέ· ὕτερον δ' ἐγὼ
μὲν ἐν Κυνοσάργει ἐπὶ πωλεῖον ὃ μονὴν [10] ἀναβὰς

6. ταῦτα μὲν οὖν] fubaudi ἐγίγνετ' ἄν, aut ἦν ἂν πάσχειν.

7. Φόβου] malim Φόβων.

8. ἐλάμβανε. διὰ ταῦτα εἶπον ἔν] ſic malim diſtingui ἐλάμβανε διὰ ταῦτα. *accipiebat propter haec.* (ſcil. διὰ τὴν μήνυσιν.) Εἶπον ἔν — *Deferebam ergo.*

9. ὑμῶν] imo vero ἡμῶν, vt dedi de meo.

10. πωλεῖον ὃ μονὴν] Ego lego πωλίον equuleum,

ἔπεσον, καὶ τὴν κλεῖν συνετρίβην, καὶ τὴν κεφαλὴν 6.
κατεάγην [11], φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην
οἴκαδε· αἰσθόμενος δ' Εὐφίλητος ὡς ἥκοιμι [12], λέγει
πρὸς αὐτὸς [13], ὅτι πέπεισμαι ταῦτα [14] συμποιεῖν,
καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τᾶ ἔργα, καὶ περι-
κόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸν Φορβάντιον [15]. ταῦ- 9.
τα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνες· καὶ διὰ ταῦτα ὁ
Ἑρμῆς, ὃν ὁρᾶτε πάντες, ὁ παρὰ πατρῴαν οἰκίαν
τὴν ἡμετέραν, ὃν Αἰγηὶς ἀνέθηκεν [16], ἐ περιεκόπη,
μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν· ὡς ἐμᾶ τᾶτο ποιή-
σαντος [17], ὡς ἔφη πρὸς αὐτὸς Εὐφίλητος. οἱ δ' αἰ- 12.
σθό-

paruulum equum, aſturconem, vt Petronius appellat, ὅ μοι ἦν. *qui mihi erat.* Scaliger adſcripſerat πῶλον ἔνειον aut πῶλον ἡμιόνειον.

11. κατεάγην] ſic correxit Stephanus Aldinae κατεσίγην.

12. ὡς ἥκοιμι] interpone ἐχ. Sentiens Euphiletus, me in conciliabulum ipſorum haud eſſe venturum. Aut leg. ὡς ἔχοιμι. quomodo me haberem.

13. πρὸς αὐτὸς] familiares ſuos tum penes ſe congreſſos.

14. ταῦτα] ea, in quibus ipſi nunc verſarentur, quae animis atque deliberationibus agitarent. In continenti appellat τὸ ἔργον. v. verſ. 14.

15. παρὰ τὸν Φορβάντιον] Lego παρὰ τὸ Φορβαντεῖον. in neutro. *apud aedem Phorbantis.* Animaduertit hoc dudum quoque Valeſ. ad Harpocr. p. 197. et 337.

16. ἀνέθηκεν] ſic correxit Stephanus Aldinae ἀνέσθηκεν.

17. ποιήσαντος] malim ποιήσοντος in futuro. aut ſi aoriſtum ſeruamus, addi ſaltim debebit ἄν.

σθόμενοι δεινὰ ἐποίουν, ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλιτος καὶ Εὐφίλητος ἔλεγον, ὅτι, Γεγένηται, ὦ Ἀνδοκίδη, καὶ πέπρακται ἡμῖν
15. ταῦτα. σὺ μέντοι εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἔξεις ἡμᾶς ἐπιτηδείως, ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλεπώτεροί σοι ἐχθροὶ ἡμεῖς ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι [18]. εἶπον αὐτοῖς, ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν
18. εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι. ὅτι οἶδα [19], ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι [20] πεποίηται. ὡς ἔν γε ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι [21] ἔκαμνον καὶ οὐδ' ἀνίσταμην ἐκ τῆς κλίνης· καὶ τὰς θεραπαίνας [22] ἔλαβον

18. δι' ἡμᾶς φίλοι] video quidem ſententiam, ſed in verbis haeret ſcabrities quaedam, quae quomodo complananda ſit, haud reperio. Deeſſe aliquid apparet. ſententia haec eſt. χαλεπώτεροί σοι ἐχθροὶ ἐσόμεθα, ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι σοι γενόμενοι δύναιντό σε εὐεργετεῖν καὶ ἐξαιρεῖσθαι ἐκ τῶν κινδύνων.

19. ἐκ ἐμὲ δεινὸν εἶναι ὅτι οἶδα] idem eſt, ac ſi diceret. ὃ τοῦτο ὑμῖν ἐστι δεινὸν, (φοβερὸν καὶ χαλεπὸν) ὅτι ἐγὼ σύνοιδα ὑμῖν τὸ πρᾶγμα. Aut ἐκ ἐγὼ ὑμῖν εἰμὶ δεινὸς (id eſt φοβερὸς) διὰ τὸ συνειδέναι.

20. ἔργον, πολλῷ ὅτι] diſtinguo ſic ἔργον πολλῷ, rem ipſam multo eſſe formidabiliorem, ὅτι — cohaeret πολλῷ cum μᾶλλον. idem eſt ac ſi dixiſſet πολλῷ μᾶλλον δεινὸν εἶναι — vel πολλῷ δεινότερον εἶναι.

21. βασανίσαι, ὅτι] interponendum videtur εἰδότα.

22. Videtur ſic locus corrigendus. καὶ τὰς θερα-

οἱ πρυτάνεις. ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. 21.
ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν, ἣ ἐγὼ ἔλεγον, καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλεῖσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σώζεσθαι, φράσας τὸν πείσαν- 24.
τας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγάσιον, καὶ Ἀμίαν τοῦτον ἐξ Αἰγίνης [23]. καὶ οὗτοι μὲν δείσαντες ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκέσαντες ταῦτα, Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε· τὸν δὲ δεδεμένους καὶ μέλλον- 27.
τας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε. αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπήειτε, πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες· ἐν οἷς ἐγὼ ὦ ἄνδρες, τῆς μὲν τύχης, ἣ ἐχρησάμην, δικαίως ἂν ὑπὸ πάντων 30.
ἐλεηθείην· τῶν δὲ γινομένων ἕνεκεν εἰκότως ἀνὴρ [24] ἄριστος δοκοίην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην [25], ἠναντιώθην

παῖδας δὲ λαβόντες οἱ πρυτάνεις ἐζήτουν, ὅθεν ὁρμώμενοι. Ancillas quoque cum prytanes ad tormenta vocassent, inquirebant ex iis, vndenam heri ipsarum moti, (qua de causa,) tantum scelus ausi essent.

23. καὶ Ἀμίαν τοῦτον ἐξ Αἰγίνης] Fort. καὶ Ἀμίαντον τὸν ἐξ αἰγίνης.

24. εἰκότως ἀνὴρ] videtur ἂν esse interponendum. Aldina dat δοκεῖην.

25. ἀπιστοτάτην] iusiurandum omnium infidissimum, cui neque qui audit fidem habere, neque qui

τιώθην καὶ ἀντεῖπον· καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν [26]
33. ἦν ἄξιος· ἁμαρτόντων δ' ἐκείνων, τὴν ἁμαρτίαν
αὐτοῖς συνέκρυψα· καὶ μηνύσαντος κατ' αὐτῶν
Τεύκρου, οἱ μὲν αὐτῶν ἀπέθανον, οἱ δ' ἔφυγον·
πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεδῆναι καὶ μέλλειν ἀπο-
λεῖσθαι. τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας,
36. Παναίτιον, Διάκριτον, Λυσίστρατον, Χαιρέδημον.
ἔτοι μὲν ἔφυγον δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ
πατὴρ, ὁ κηδεστὴς, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγ-
γενῶν ἑπτὰ, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ
νῦν ὁρῶσι τὸ ἡλίου τὸ φῶς δι' ἐμὲ, καὶ αὐτοὶ ὁμολο-
39. γοῦσιν. ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας, καὶ εἰς
τὰς ἐσχάτας κινδύνους καταστήσας, ἐξηλέγχθη·
ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων, καὶ τῶν εἰς
ἀλλήλους ὑποψιῶν. καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ
ἄνδρες, ἀναμιμνήσκεσθε [27], καὶ οἱ ἰδόντες [28] διδά-
42. σκετε τοὺς ἄλλους. σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυ-
θέντας δι' ἐμέ. ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα
λέγοιεν εἰς τάδε. ἑτοῖμοι δὲ ἔχει, ὦ ἄνδρες· μέχρι
τότε ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶ-
σθαι βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων ἀπο-
10. λογήσομαι [29]. Περὶ μὲν ἓν τῶν τότε γενομένων ἀκη-

dixit, fidem rebus praestare debet, sed quod violari par sit, quia scelus sit ei satisfacere.

26. ὧν] malim ὡς.

27. ἀναμιμνήσκεσθε] sic correxit Stephanus. In Aldina deest κ.

28. ἰδόντες] malim εἰδότες.

29. post ἀπολογήσομαι deest μάρτυρες titulus.

κόατε πάντα, καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὡς γ' ἐμαυτὸν πείθω· εἰ δέ τίς τι ὑμῶν ποθεῖ, ἢ νομίζει τι μὴ ἱκανῶς εἰρῆσθαι, ἢ παραλέλοιπά τι, ἀναξὰς ὑπομνησάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς 3.
τοῦτο. περὶ δὲ τῶν νόμων ἤδη ὑμᾶς διδάξω. Κηφίσιος γὰρ ὅτοσὶ ἐνέδειξε μέν με κατὰ τὸν νόμον τὸν κείμενον, τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον [30] γενόμενον, ὃ εἶπεν * Ἰσοτιμίδης, ὃ [31] ἐμοὶ προσῆκον οὐδέν. ὁ μὲν γὰρ [32] εἶπεν εἴργε- 6.
σθαι τῶν ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων ἑτέρα πεποίηται· οὐδὲ ἠσέβηται, ὅτε ὡμολόγηται. ὡς δὲ καὶ τοῦτο τὸ ψήφισμα λέλυται καὶ ἄκυρόν ἐστιν, ἐγὼ ὑμᾶς διδάξω. καίτοι 9.
γε τοι-

30. πρότερον] quod pſephiſma olim aliquando erat ratum, in vſu, nunc nullum eſt; ante Euclidem archontem valebat, nunc deſiit. non enim fuit eo archonte vna cum aliis legibus reſtauratum. νόμους τοὺς πρότερον γενομένους appellat leges, quae cum olim fuiſſent, poſtmodum in reſtauratione legum vetuſtarum reſtauratae non fuerunt, ſed caſſatae. p. 11, 42.

31. εἰς ὅτι μηδ' ἴσον] dedi de meo Ἰσοτιμίδης, ὃ — v. p. 2, 10.

32. ὁ μὲν γὰρ —] ſcil. νόμος. Nam lex quidem, a Cephiſio allegata, quaſi in eam peccaſſem, agit de ſacrilegis arcendis templo et foro. Pſephiſma autem egerat de reddendo pleno iure ciuili capite minutis. Ego vero neque capite minutus ſum, neque ſacrilegus, ſed exſul. De exſulibus autem neque lex, neque decretum agit. nil ergo ad me neque decretum, neque lex pertinet.

γελοιαύτην ἀπολογίαν περὶ αὐτῶ ποιήσομαι· ὅπω[32] b.
μὴ πείθων μὲν ὑμᾶς, αὐτὸς ζημιώσομαι· πείσας δὲ,
ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι. ἀλλὰ
γὰρ τἀληθῆ εἰρήσεται. ἐπεὶ γὰρ αἱ νῆες διεφθάρη-
12. σαν, καὶ ἡ πολιορκία ἐγένετο, ἐβεβλεύσασθε περὶ
ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τὰς ἀτίμους ἐπιτίμους ποι-
ῆσαι, καὶ εἶπε τὴν γνώμην Πατροκλείδης. οἱ δὲ ἄτι-
μοι τίνες ἦσαν, καὶ τίνα τρόπον ἕκαστοι, ἐγὼ ὑμᾶς
διδάξω. οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ δημοσίῳ, ὁ-
15. πόσοι εὐθύνας ὤφελον, ἄρξαντες ἀρχὰς, ἢ ἐξού-
λας, ἢ γραφὰς, ἢ ἐπιβολὰς[33] ὤφλον[34], ἢ ὠνὰς
πριάμενοι ἐκ τοῦ δημοσίου, μὴ κατέβαλον τὰ χρή-
ματα, ἢ ἐγγύας ἠγγυήσαντο[35] πρὸς τὸ δημόσιον,
τούτοις ἡ μὲν ἕκτισις ἦν ἐπὶ τῆς ἐννάτης πρυτανείας·
18. εἰ δὲ μή, διπλάσιον ὀφείλειν, καὶ τὰ κτήματα αὐ-
τῶν πεπράσθαι. εἷς μὲν τρόπος ἕτος ἀτιμίας ἦν·
ἕτερος δὲ, ὧν τὰ μὲν σώματα ἄτιμα ἦν, τὴν δ' οὐ-
σίαν ἔσχον καὶ ἐκέκτηντο· ἕτοι δ' ἂν ἦσαν ὁπόσοι
κλοπῆς ἢ δώρων ὤφλοιεν· τούτους ἔδει, καὶ αὐτοὺς καὶ
21. τοὺς ἐκ τούτων, ἀτίμους εἶναι, καὶ ὁπόσοι λίποιεν τὴν
τάξιν, ἢ ἀστρατείας, ἢ δειλίας, ἢ ναυμαχίας[36]
ὤφλοιεν, ἢ τὴν ἀσπίδα ἀποβάλοιεν· ἢ τρὶς ψευδο-
μαρτυριῶν ἢ τρὶς ψευδοκλητίας ὤφλοιεν, ἢ τοὺς γο-
νέας

32 b. ὅπω malim abeſſe.

33. ἐπιβολὰς] ſic correxit Stephanus Aldinae ἐπι-
βολὰς.

34. ὤφλον] ſic praeter Stephanum Scaliger quo-
que correxit Aldinae ὤφλων.

35. ἠγγυήσαντο] Ald. ἐγγ.

36. ναυμαχίας] μαλακίας lego.

νέας κακῶς ποιοῦεν. ἔτοι πάντες ἄτιμοι ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. ἄλλοι αὖ κατὰ 24.
προστάξεις [37], οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν, ἀλλὰ μέρος τι αὐτῶν, οἷον οἱ στρατιῶται, οἷς, ὅτι ἐπέμειναν ἐπὶ τῶν τυράννων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα ἦν, ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ ἐκ ἐξῆν αὐτοῖς, ἀδὲ βουλεῦσαι. τούτων ἦσαν ἔ- 27.
τοι ἄτιμοι [38]. αὕτη γὰρ ἦν τότοις πρόσταξις· ἑτέροις ἐκ ἦν γράψασθαι, τοῖς δὲ, ἐνδεῖξαι· τοῖς δὲ, μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν. τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. ταῦτ' ἔν ἐψηφίσασθε ἐξαλεῖψαι πάντα τὰ ψη- 30.
φίσματα, καὶ αὐτὰ, καὶ εἴπε τι ἀντίγραφον ἦν, καὶ πίσιν ἀλλήλοις περὶ ὁμονοίας δῶναι ἐν ἀκροπόλει. καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο. ΨΗΦΙΣΜΑ. „Πατροκλείδης εἶπεν· Ἐπειδὴ ἐψηφίσαντο Ἀθηναῖοι τὴν ἄδειαν 33.
περὶ τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι, καὶ ἐπιψηφίζειν, ψηφίσασθαι τὸν δῆμον ταῦτα, ἅπερ ὅτε ἦν τὰ Μηδικὰ, καὶ συνήνεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. περὶ δὲ τῶν ἐπιγεγραμμένων εἰς τοὺς πράκτορας, ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων 36.
θεῶν,

37. κατὰ προσάξεις] scil. ἦσαν ἄτιμοι. honore et iure in foro ſtandi carebant ſub certis quibusdam praedictis et imperatis conditionibus. *quadamtenus.*

38. ἔτοι ἄτιμοι] interpone οἱ articulum. Ad claſſem a me poſtremo loco dictam pertinent ἄτιμοι illi, de quibus decretum Patroclidis agebat.

θεῶν, ἢ τὸν βασιλέα, ἢ εἴ τις μὴ ἐξεγράφη [39] μέχρι τῆς ἐξελθούσης βουλῆς, ἐφ' ἧς Καλλίας ἦρχεν, ὅσοι ἄτιμοι ἦσαν, ἢ [40] ὀφείλοντες· καὶ ὅσων εὐθύναι τινές εἰσι κατεγνωσμέναι ἐν τοῖς λογιστηρίοις ὑπὸ
39. τῶν εὐθύνων [41] a. ; ἢ τῶν παρέδρων· ἢ μήπω εἰσηγμέναι εἰς τὸ δικαστήριον γραφαί [41] b. τινές εἰσι περὶ τῶν εὐθύνων, ἢ προσάξεις, ἢ ἐγγύαι τινές εἰσι κατεγνωσμέναι, εἰς τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅσα ὀνόματα τῶν τετρακοσίων τινὸς [42] ἐγγέγραπται,
42. ἢ ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἔστι πεγεγραμμένον, πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μενάντων, ἢ ἐξ Ἀρείου πάγου, ἢ τῶν ἐφετῶν [43], ἢ ἐκ πρυτανείου, ἢ Δελφινίου ἐδικάσθη, ἢ ὑπὸ τῶν βασιλέων, ἢ ἐπὶ φόνῳ
11. τίς ἐστι φυγὴ [44], ἢ θάνατος κατεγνώσθη, ἢ σφαγεῦσιν

39. ἐξεγράφη] Ergo ἐκγράφειν est *ex aerariis expungere.*

40. ἢ et comma videntur delenda.

41 a. εὐθύνων] Aldus, et hic, et versu proximo posſt, dedit εὐθυνῶν. In priore quidem loco, h. e. hoc versu 39. malim legi ὑπὸ τῶν εὐθυντῶν.

41 b. γραφαί] malim ἢ γραφαί. vt εἰσηγμέναι redeat ad εὐθύναι.

42. τινὸς delendum videtur.

43. ἐφετῶν] Lege ἐφετῶν. Nam ἐφέται erant Athenis, qui de caedibus iudicabant, numero quadraginta. PALMER.

44. τίς ἐστι φυγὴ] Num τίσιν ἢ φυγὴ. v. Petit. LL. Att. p. 469. qui satis ieiune et perfunctorie locum hunc memorabilem, non tractat, sed attingit solummodo.

γεῦσιν ἢ τυραννοις· τά τε [45] ἄλλα πάντα ἐξαλεῖψαι τὰς πράκτορας καὶ τὴν βουλὴν, καὶ τὰ εἰρημένα [46] πανταχόθεν, ὅπου τί ἐστιν ἐν τῷ δημοσίῳ, καὶ εἰ ἀντίγραφόν που ἐστὶ, παρέχειν τὰς θεσμοθέ- 3.
τας καὶ τὰς ἄλλας ἀρχάς. ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ· ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι· μηδὲ μνησικακῆσαι μηδέποτε. εἰ δὲ μὴ, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταῦτα, ἐν τοῖς αὐτοῖς, ἐν οἷσπερ 6.
οἱ ἐξ Ἀρείου πάγου φεύγοντες· ὅπως ἂν ὡς πιστότατα ἔχοι Ἀθηναίοις, καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον. „ Κατὰ μὲν τὸ ψήφισμα τοῦτο, τὰς ἀτιμίας ἐπιτίμους ἐποιήσατε, τὰς δὲ φεύγοντας ἔφη Πατρο- 9.
κλείδης εἶπε κατιέναι, ἔδοξε δ' ὑμῖν ἐψηφίσασθε. ἐπεὶ δὲ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθε, καὶ κατέσησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή τε κατελήφθη, Μουνυχίαν τε κατέλα- 12.
βον [47], ἐγένετο ὑμῖν [48] ὧν ἐγὼ οὐδὲν δέομαι μεμνῆσθαι, οὐδ' ἀναμιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν. ἐπειδὴ [49] ἐπανήλθετε ἐκ Πειραιέως, γενόμενον ἐφ' ὑμῖν τιμωρεῖσθαι, ἔγνωτε ἐᾶν τὰ γεγενημένα,

45. τά τε] aut τά γε malim, aut τὰ δὲ.
46. εἰρημένα] num εὑρημένα, ab εὑρίσκειν.
47. κατελαβον] quinam, tyranni an exsules. quaere apud Xenophontem.
48. ἐγένετο ὑμῖν] videtur δ' interponendum.
49. ἐπειδὴ] lego ἐπεὶ δὲ.

15. μένα, καὶ περὶ πλείονος ἐποιήσασθε σώζειν τὴν πόλιν, ἢ τὰς ἰδίας τιμωρίας[50]· καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλήλοις τῶν γεγενημένων. δόξαντα δὲ ὑμῖν ταῦτα, εἵλεσθε ἄνδρας εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως, ἕως ἂν οἱ νόμοι τεθεῖεν· τέως δὲ
18. χρῆσθαι τοῖς Σόλωνος νόμοις, καὶ τοῖς Δράκοντος θεσμοῖς. ἐπειδὴ δὲ βελήν τε ἀπεκληρώσατε, νομοθέτας τε εἵλεσθε, εὕρισκον[51] τῶν νόμων τῶν τε Σόλωνος καὶ τῶ Δράκοντος πολλὼς ὄντας, οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι ἦσαν, τῶν πρότερον ἕνεκα γινο-
21. μένων[52], ἐκκλησίαν ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφίσασθε, δοκιμάσαντες πάντας τοὺς νόμους, εἶτ' ἀναγράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων, οἳ ἂν δοκιμασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα. ΨΗΦΙΣΜΑ.
24. „Ἔδοξε τῷ δήμῳ· Τισαμενὸς εἶπε πολιτεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς· χρῆσθαι δὲ καὶ τοῖς Δράκοντος θεσμοῖς, οἵσπερ ἐχρώμεθα ἐν τῷ

50. τιμωρίας] num addendum est ἐπεξιέναι. *priuatas vltiones exsequi*, an leg. τὰς ἰδίας τιμωρεῖσθαι ἀδικίας. *priuatas iniurias vlciſci.*

51. F. leg. εἵλεσθε, ἕτοι δὲ εὕρισκον. *hi autem* (Nomothetae puta) *inuenirent.* aut εὑρίσκοντες.

52. malim γενομένων in aor. ſec. propter ea, quae temporibus ſuperioribus acciderant.

53. οἵδε ἠρημένοι] malim οἱ ἠρημένοι (ſine illa ſyllaba δε) num οἱ ΔΕ id eſt δεκάκις πέντε, hoc eſt πεντήκοντα.

ἐν τῷ πρόσθεν χρόνῳ. ὁπόσων δ' ἂν προσδέοι, οἵδε ἠρημένοι [53] νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγραφόν- 27.
των ἐν σανίσι καὶ ἐκτιθέντων πρὸς τοὺς ἐπωνύμους [54], σκοπεῖν τῷ βουλομένῳ· καὶ παραδιδόντων ταῖς ἀρ-
χαῖς ἐν τῷδε τῷ μηνί. τοὺς δὲ παραδιδομένους νό-
μους δοκιμασάτω πρότερον ἡ βουλὴ [54], καὶ οἱ νομο- 30.
θέται οἱ πεντακόσιοι, ὃς οἱ δημόται εἵλοντο, ἐπειδὴ
ὁμωμόκασιν. ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομένῳ,
εἰσιόντι εἰς τὴν βουλὴν βουλεύειν [56] ὅ, τι ἂν ἀγαθὸν
ἔχῃ περὶ τῶν νόμων. ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, 33.
ἐπιμελείσθω ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τῶν νόμων,
ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμένοις νόμοις χρῶνται.
τοὺς δὲ κυρωμένους τῶν νόμων ἀναγράφειν εἰς τὸν τοῖ-
χον [57], ἵνα περ πρότερον ἀνεγράφησαν, σκοπεῖν τῷ

βουλε-

54. aut πρὸ τῶν ἐπωνύμων, aut πρὸς τοῖς ἐπωνύμοις.

55. verba sic videntur ordinanda ἡ βουλὴ, οἱ πεντακόσιοι, καὶ οἱ νομοθέται, ὃς οἱ δημόται — Senatus appellatur per appositionem et superenarrationem, CCCCC viri. quia plures erant Athenis βουλαί. Definitionis itaque gratia, et restrictionis ad certum genus Senatus, ne in nomine erretur, additur οἱ πεντακόσιοι. Senatores erant numero quingenti, non Nomothetae. Et haec fuit quoque Petiti sententia p. 173. vt nunc video. possumus tamen ambo falli. potest vulgata bene habere. Nam 50 Nomothetae a senatu delecti aperte hic opponuntur quingentis Nomothetis a populo delectis.

56. βουλεύειν] pro συμβουλεύειν. v. p. 12, 36.

57. τὸν τοῖχον] porticus puta, Poeciles dictae. v. vers. 36. εἰς τὴν στοάν.

βελομένῳ.„ Ἐδοκιμάσθησαν μὲν ἔν οἱ νόμοι, ὦ ἄν-
36. δρες, κατὰ τὸ ψήφισμα τοτί. τὲς δὲ κυρωθέντας
ἀνέγραψαν εἰς τὴν στοάν. ἐπεὶ δὲ ἀνεγράφησαν,
ἐθέμεθα νόμον, ᾧ πάντες χρῆσθε [58], μηδὲ περὶ
ἑνὸς ἄρα γε ἐστὶ τοῦτο, ὅτι περιέλειπτο [59] περὶ ὅτου
οἷόν τε ἦ ἀρχὴν εἰσάγειν, ἢ ὑμῶν πρᾶξαί τινι, ἀλλ'
39. ἢ [60] κατὰ τὲς ἄνω γεγραμμένες [61] νόμες. ὅπου οὖν
ἀγράφῳ νόμῳ ἐκ ἔξεστι χρήσασθαι, ἦπου ἂν ἀγρά-
φῳ γε ψηφίσματι παντάπασιν, οὐ δεῖ γε χρήσα-
σθαι. ἐπειδὴ τοίνυν ἑωρῶμεν, ὅτι πολλοῖς τῶν πο-
λιτῶν εἶεν συμφοραὶ, τοῖς μὲν, κατὰ νόμες, τοῖς
42. δὲ, κατὰ ψηφίσματα τὰ πρότερον γενόμενα, τε-
τοσὶ

58. aut poſt χρῆσθε, aut poſt μηδὲ περὶ ἑνὸς deeſt ἀγράφῳ νόμῳ μὴ χρῆσθαι. v. verſ. vlt.

59. περιέλειπτο] Schedae Scaligeri περιείληπτο. lectio perinde obſcura atque vulgata eſt. vtinam Scaliger clarius mentem ſuam hoc de loco aperuiſſet. Venit aliquando in mentem, pro τοῦτο legere τούτῳ. huic Cephiſio, aut τοῦτοις his, Cephiſio puta et Melito, et Epichari. Item pro ὅτι leg. eſſe ἔτι et tum περίλοιπον pro ὑπόλοιπον. ſed hoc in vſu non eſt, et, ſi ſit quoque, tamen ad ſententiam parum profecimus. Clarior itaque lux a codd. mſtis exſpectanda. Num ἆρά γε ἔν τι τούτῳ ἔτι περιελέλειπτο, aut περιελείπετο. Conf. p. 12, 14.

60. ἀλλ' ἢ] id eſt ἄλλως, ἢ ſecus quam, praeterquam.

61. ἄνω γεγραμμένες] malim vno vocabulo ἀναγεγρ. Colligit ſic. Aduerſarii me vrgent decreto Patroclidis. Atqui, 1) decretum illud ad me nil pertinet. 2) renouatum non eſt ab Euclide archonte. Atqui vos ſanxiſtis, legibus eo archonte non renouatis nil vti. ergo multo minus decretis eiusmodi vtendum eſt.

τεσὶ τὲς νόμες ἐθέμεθα, αὐτῶν ἕνεκα τῶν νυνὶ ποιεμένων, ἵνα τέτων μηδὲν γένηται, μηδὲ ἐξῇ συκοφαντεῖν μηδενί. καί μοι ἀνάγνωθι τὲς νόμες. ΝΟΜΟΣ[62]. „Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι, μηδὲ περὶ ἑνός. ψήφισμα δὲ μηδὲν μήτε βελῆς, μήτε δήμε, νόμε κυριώτερον εἶναι[63]· μηδὲ ἐπ' ἀνδρὶ νόμον ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις· ἐὰν μὴ ἑξακισχιλίοις δόξῃ, κρύβδην ψηφιζομένοις." Τί ἦν ἦν ἐπίλοιπον[64]; εὐτοσὶ ὁ νόμος· καί μοι ἀνάγνωθι τῆτον. ΝΟΜΟΣ. „Τὰς δὲ δίκας καὶ τὰς διαίτας κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατεμένῃ πόλει ἐγένοντο· τοῖς δὲ νόμοις χρῆσθαι ἀπ' Εὐκλείδε ἄρχοντος." Τὰς δὲ δίκας, ὦ ἄνδρες, καὶ τὰς διαίτας ἐποιήσατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατεμένῃ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν, μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων[65] συμβολαίων αἱ πράξεις εἶεν· τῶν δημοσίων[66] ὁπόσοις αἱ[67] γραφαί εἰσιν, ἢ φάσεις,

45. 12. 1. 3. 6.

62. *νόμος*] imo vero *νόμοι*. leges enim plures sunt.

63. *μήτε δήμε, κυριώτερον εἶναι*] Excidit hic incuria ex editione Henr. Stephani post v. *δήμε*, vocabulum *νόμε*, ad sententiae integritatem necessarium, quod ex Aldina reuocaui. v. Demosth. p. 416. 31. et paulo post hac ipsa pagina vers. 12.

64. Num *τί νῦν ἡμῖν ἔτι λοιπόν*;

65. *τῶν ἰδίων*] videtur *μὲν* interponendum.

66. *τῶν δημοσίων*] interpono *δὲ*. ad *δημοσίων* subauditur *πραγμάτων*.

67. *αἱ*] malim *ἢ*.

φάσεις, ἢ ἐνδείξεις, ἢ ἀπαγωγαὶ, τέτων ἕνεκα τοῖς
9. νόμοις ἐψηφίσασθε χρῆσθαι ἀπ' Εὐκλείδε ἄρχοντος. ὁπότ' ἂν ἔδοξεν ὑμῖν δοκιμάσαι μὲν τὸς νόμους, δοκιμάσαντες [68] δὲ ἀναγράψαι· ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός· ψήφισμα
12. δὲ μήτε βελῆς, μήτε δήμε, κυριώτερον [69] εἶναι· μηδ' ἐπ' ἀνδρὶ νόμον τιθέναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις· τοῖς δὲ νόμοις τοῖς κειμένοις χρῆσθαι ἀπ' Εὐκλείδε ἄρχοντος· ἐνταυθοῖ ἐσιν ὅ, τι ὑπολείπεται ἢ μεῖζον ἢ ἔλαττον τῶν γιγνομένων πρότε-
15. ρον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως κύριον ἔσαι; ἃ γὰρ οἶμαι ἔγωγε, ἄνδρες σκοπεῖτε δὲ καὶ αὐτοί. Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες μετὰ τὰς διαλλαγάς. ΟΡΚΟΣ. „Καὶ
18. οὐ μνησικακήσω τῶν πολιτῶν ἐδενὶ, πλὴν τῶν τριάκοντα, καὶ τῶν ἕνδεκα [70]· ἐδὲ τέτων, ὃς [71] ἂν ἐθέλοι εὐθύνας διδόναι τῆς ἀρχῆς, ἧς ἦρξεν.„ Ὅπου τοίνυν αὐτοῖς τριάκοντα [72] ὤμνυτε μὴ μνησικακήσειν,

68. δοκιμάσαντες] πότερον δοκιμάσαντας STEPHAN. in margine.

69. δήμε κυριώτερον] interpone νόμε, tametsi vocabulum hoc etiam ab Aldina h. l. abeſt.

70. τῶν ἕνδεκα] imo vero τῶν δέκα. ſignificat illos decem, qui poſt XXX viros expulſos in Vrbe (Piraeeum enim exſules tenebant) remp. pro arbitrio ſuo adminiſtrabant. v. Lyſiam. Sed occupauit hanc emendationem noſtram iam dudum Valeſius Emendat. p. 41.

71. τέτων, ὃς] id eſt τέτων ἐκείνῳ, ὃς ἄν.

72. αὐτοῖς τριάκοντα] interpone τοῖς.

σειν, τοῖς* μεγίστων[73] κακῶν αἰτίοις, εἰ δίδοῖεν εὐθύνας, ἦ πᾶ σχολῆ γε τῶν ἄλλων[74] πολιτῶν τινι 21.
ἠξιῶτε μνησικακεῖν. ἡ δὲ βουλὴ αὕτη ἀεὶ[75] βουλεύσασα, τί ὤμυσι; „Καὶ ἐ δέξομαι ἔνδειξιν, ἐδὲ ἀπαγωγήν, ἕνεκα τῶν πρότερον[76] γεγενημένων, πλὴν τῶν φευγόντων.„ Ὑμεῖς δ' αὖ, ὦ Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; „Καὶ οὐ μνησικακήσω, ἐδὲ ἄλ- 24.
λο[77] πείσομαι· ψηφιοῦμαι δὲ κατὰ τὸς κειμένους νόμους.„ Ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς ὑμῖν λέγειν[78], ὡς ὑπὲρ ὑμῶν λέγω καὶ τῶν νόμων. σκέψασθε τοίνυν, ὦ ἄνδρες, [καὶ τὸς νόμους[79]] καὶ τὸς κατηγόρους, τί αὐτοῖς ὑπαρχόντων ἑτέρων κατηγορεῖσι. 27.

Κηφί-

73. μεγίστοις] imo vero μεγίστων, vt dedi de meo.

74. σχολῇ γε τῶν ἄλλων] Aldina dat σχολῇ τῶν γε ἄλλων. a quo verborum ordine quae cauſa fuerit Stephano diſcedendi, nil equidem video.

75. ἡ δὲ βουλὴ αὕτη ἀεὶ] Pronomen αὕτη ſi ſeruatur, quod equidem malim, addendum erit ἡ inter αὕτη et ἀεὶ. Alias ſic erit leg. ἡ δὲ βουλὴ αὖ ἡ ἀεὶ β. v. verſ. 23.

76. πρότερον] ſic correxit Stephanus et hic, et p. 14, 8. et 9. quibus tribus in locis Aldina dat προτέρων.

77. ἄλλο] imo vero ἄλλῳ. neque alii obtemperabo hortanti me iniurias acceptas vlciſci. Hoc eſt, temperabo mihi ab vltione ipſe, et non patiar ab alio quoquam me ad eam ſtimulari.

78. poſt λέγειν videtur εἰπὼν vel φάσκων deeſſe.

79. verba καὶ τὸς νόμους videntur delenda eſſe, et pro τί leg. τίνων, vt loci hic ſit tenor. σκέψασθε τοίνυν, ὦ ἄνδρες, καὶ τὸς κατηγόρους, τίνων [ſcil. ἐγκλημάτων] αὐτοῖς ὑπαρχόντων, ἑτέρων κατηγορεῖσι. id eſt

Κηφίσιος μὲν ἔτοσὶ, πριάμενος ὠνὴν ἐκ τοῦ δημοσίου, καὶ ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν τῇ γῇ γεωργούντων [80] ἐννενήκοντα μνᾶς ἐκλέξας, ἐ κατέβαλε τῇ πόλει, καὶ ἔφυγεν. εἰ γὰρ ἦλθεν, ἐδέδετ' ἂν ἐν τῷ
30. ξύλῳ. ὁ γὰρ νόμος ἔτως εἶχε, κυρίαν εἶναι τὴν τε βουλὴν [81], ὃς ἂν πριάμενος τέλος μὴ καταβάλῃ, δεῖν [82] εἰς τὸ ξύλον. ἔτος τοίνυν, ὅτι τοῖς νόμοις ἀπεψηφίσασθε [83] ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι, ἀξιοῖ, ἃ ἔχει ὑμῶν ἐκλέξας, μὴ ἀποδοῦναι· καὶ νῦν
33. γεγένηται ἀντὶ μὲν φυγάδος, πολίτης, ἀντὶ δὲ ἀτίμου, συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμέ-

νοις τινῶν ἁμαρτημάτων ὄντες αὐτοὶ ὑπεύθυνοι καὶ ἔνοχοι, ἑτέρων κατηγορῶσι.

80. τῶν ἐν τῇ γῇ γεωργέντων] si bene habet h. l. erunt verba ἐν τῇ γῇ accipienda pro ἐν ταύτῃ τῇ γῇ. malim tamen ista tria vocabula ἐν τῇ γῇ abesse. Nam profecto, qui vectigal Athenis redemisset, non poterat is id in agro Megarensium aut Corinthiorum exigere.

81. τήν τε βουλὴν] πότερον τήν γε βουλὴν, ἢ τὴν βουλὴν. STEPHANVS in margine. Malim τὴν τῶν πεντακοσίων βουλήν. Suspicor enim in τ latere τῶν. notum est τῶν in codd. mstis graecis exarari per τ cum superimposito ductu, qui circumflexo est similis. ε significat *quinque*, sed cum virgula subtus posita *quinquies mille*, et cum virgula superne imposita, aut ad latus adscripta, *quingentos*. Quod si cui minus videbitur probabile, ei auctor sim, vt τὴν ἑκάστοτε βουλὴν legat, aut τε plane omittat cum Stephano.

82. δεῖν] sic, praeter Stephanum, correxit Scaliger quoque Aldinae δεῖ.

83. ἀπεψηφίσασθε] malim simplex ἐψηφίσασθε, aut ἐπεψήφισθε.

νοις χρῆσθε. Μέλιτος δ' αὖ ὅτοσὶ ἀπήγαγεν ἐπὶ τῶν τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ ἀπέθανεν ἐκεῖνος ἄκριτος. καὶ ὅτος ὁ νόμος καὶ πρότερον ἦν ὡς καλῶς [84] ἔχων καὶ νῦν ἐστι, καὶ χρῆ- 36.
σθε αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ [85] ἐνέχεσθαι, καὶ τὸν τῇ χειρὶ ἐργασάμενον. Μέλιτον τοίνυν τοῖς παισὶ τοῖς τῶ Λέοντος ὀκ ἔστι φόνε διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδε ἄρχοντος. ἐπεὶ ὥς γε ὀκ ἀπήγαγεν, ἀδ' αὐτὸς ἀντιλέγει· Ἐπι- 39.
χάρης δ' ὅτος, ὁ πάντων πονηρότατος [86], καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν [87] αὐτὸς αὑτῷ. ὅτος γὰρ ἐβάλευεν ἐπὶ τῶν τριάκοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τῆ βουλευτηρίε; „Ὃς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρα- 42.
τίας

84. ὡς καλῶς] aut ὡς κάλλιστα leg., aut ὡς ἴστε, καλῶς, aut ὡς pone ἔχων est ponendum

85. ἐν τῷ αὐτῷ] scil. ἐγκλήματι καὶ ἐπιτιμίῳ.

86. ὁ πάντων πονηρότατος] post πάντων videtur ὧν deesse, non per se quidem illud necessarium, verumtamen propter βελόμενος insequens.

87. βελόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν] videtur sic distinguendum et leg. esse. βουλόμενος εἶναι. τοιοῦτος γὰρ ὁ μνησικακῶν. *et vult etiam esse. Talis enim* (id est pessimus mortalium omnium) *est* ille, qui ipse sibi suarum iniuriarum memor est et earum vltionem in semet exsequitur. Epichares ipse de se poenas sumebat, Andocidem in ius vocando, immemor ipse, legem esse, ratam et in republica obtinentem, vi cuius ipse Epichares a quocunque posset impune occidi, eamque legem posse ab Andocide in hominum memoriam reuocari.

τίας καταλυθείσης, νηποινὶ τεθνάναι· καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι, καὶ τὰ χρήματα ἔχειν [88] τῷ ἀποθανόντος. „ Ἀλλ' ὅτι [89] οὖν, ὦ Ἐπιχάρης, ἢ νῦν [90] ὁ ἀποκτείνας σε, καθαρὸς τὰς χεῖρας
13. 1. ἕξαι κατά γε τὸν Σόλωνος νόμον. καὶ ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης. ΝΟΜΟΣ. „Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐάν τις [91] ἐπρυτάνευε, Κλεο-
3. γένης ἐγραμμάτευε, Βοηδὸς ἐπεστάτει. τάδε Δημόφαντος συνέγραψεν.„ (Ἄρχει [92] χρόνος τόδε τῷ ψηφίσματος [93], ἡ βουλή, οἱ πεντακόσιοι, λαχόντες

Iii ii 4 τῷ

88. ἔχειν] Atqui paulo poſt p. 13, 7. bona peremti non peremtori, ſed fiſco a lege adiudicantur. Sed confer p. 13, verſu 15.

89. ἀλλ' ὅτι] πότερον ἄλλοτε, margo Stephani. Sed leg. eſt ἄλλο τι, aliudne quidpiam — ſcil. πείσεται *patietur?*

90. ἢ νῦν] lego ἢ ἡμῖν. *quam nobis.* Qui te occiderit, o Epichare, aliudne quicquam a nobis patietur, quam hoc, vt exiſtimetur puras caede manus habere, h. e. meritum te occidiſſe, nullo caedis reatu teneri? Reſponſio κατά γε τὸν Σόλωνος νόμον. Secundum Solonis quidem legem aliud nihil ei, quam hoc, eueniet. ἕξαι καθαρὸς τὰς χεῖρας. manus puras habebit. v. p. 15, 20.

91. ἐάν τις] πότερον αἰαντὶς. margo Stephani. Idem in Scaligeri quoque ſchedis reperi.

92. Verba ab ἄρχει ad ἐάν τις verſu 5. non ſunt legis, ſed Andocidis ipſius, auctoritatem legis ex ſedulitate et diligentia tempus annotandi inculcantis.

93. ψηφίσματος] ſic correxit Stephanus Aldinae ψηφίσματα.

τῷ κυάμῳ, ὅτε Κλεογένης πρῶτος [94] ἐγραμμάτευεν.) „ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, 6.
πολέμιος ἔσω [95] Ἀθηναίων, καὶ νηποινὶ τεθνάτω· καὶ τὰ χρήματα αὐτῶ δημόσια ἔσω, καὶ τῆς θεῦ τὸ ἐπιδέκατον. ὁ δὲ ἀποκτείνας τὸν ταῦτα [96] ποιήσαντα καὶ ὁ συμβουλεύσας, ὅσιος ἔσω καὶ εὐαγής.
ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν τελείων, 9.
κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν τὸν ταῦτα ποιήσαντα. Ὁ δὲ ὅρκος ἔσω ὅδε· Κτενῶ τῇ ἐμαυτοῦ χειρὶ, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι· καὶ ἐάν τις ἄρξῃ τὴν
ἀρχὴν [97] καταλελυμένης τῆς δημοκρατίας τολοι- 12.
πὸν, καὶ ἐάν τις [98] τυραννεῖν ἐπαναξῇ, ἢ τὸν τύραννον συγκαταξήσῃ, καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τῶν Ἀθηναίων· καὶ τὰ κτήματα

94. πρῶτος] Num πρῶτον. cum Cleogenes primum coepit ſcripturam facere. An ante Cleogenem ſcribae nulli fuerunt, vt ille recte πρῶτος omnium primus, ordine temporis, appelletur?

95. ἔσω] πότερον ἔσω. STEPHANVS in margine.

96. ταῦτα] illa verſu 5. et 6. indicata, et vſ. 11. repetita.

97. ἄρξῃ τὴν ἀρχὴν] pro media voce malim τιν', vt verſu 5.

98. τῆς δημοκρατίας τολοιπὸν, καὶ ἐάν τις] Num ſic leg. et diſtinguendum eſt. τῆς δημοκρατίας, καὶ τὸ λοιπὸν ἐάν τις.

15. ματα τῶ ἀποθανόντος πάντα ἀποδόμενος, ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ λόγῳ, καὶ ψήφῳ, καὶ ὀκ ἀποστερήσω ὀδέν. ἐὰν δέ τις κτεινων τινὰ τούτων ἀποθάνῃ, ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τὰς παῖδας τὰς ἐκείνε, καθάπερ Ἀρ-
18. μόδιόν τε καὶ Ἀριστογείτονα, καὶ τὰς ἀπογόνας αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν, ἢ ἐν τῷ στρατοπέδῳ, ἢ ἄλλοθί πε, ἐναντίοι τῷ δήμῳ τῶν Ἀθηναίων, λύω καὶ ἀφίημι. „ Ταῦτα δὲ ὠμόσατε Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρ-
21. κον, πρὸ Διονυσίων· καὶ ἐπεύχεσθε, εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά· ἐπιορκοῦντι δὲ, ἐξώλη αὐτὸν εἶναι καὶ γένος. πότερον, ὦ συκοφάνται, καὶ ἐπίτριπτον κινάδος, κύριος ὁ νόμος ὅδ' ἐστὶν, ἢ ὁ κύριος; 99 διὰ τοῦτο δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι
24. τοῖς 200 νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδε ἄρχοντος. καὶ σὺ ζῇς, καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν; ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δὲ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδῦναι [1], ὅσα συκοφαντῶν ἔλαβες, ἐ-
27. δέλευες τοῖς τριάκοντα. εἶτα σὺ περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ, καὶ κακῶς τινας λέγεις; ὃς ἑνὶ μὲν ὀχ ἑταιρήσας (καλῶς γὰρ ἂν σοι εἶχε), πραττόμενος δ' ὁ πολὺ ἀργύριον τὸν βελόμενον ἀνθρώ-

99. post ἢ οὐ κύριος repetenda videntur haec duo verba ὁ κύριος per modum responsionis.

200. τοῖς] sic correxit Stephanus Aldinae τοῖα.

1. ἀποδοῦναι] repetentibus dominis.

πων (ὡς ἔτι ἴσασιν) ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης· καὶ ταῦτα, ὅτω μοχθηρὸς ὢν τὴν ἰδέαν. ἀλλ' ὅμως 30.
ὅστος ἑταιρῶν [2] ἐτόλμα κατηγορεῖν, ᾧ κατὰ τὰς νόμους τὰς ἡμετέρους ἀδ' αὐτῷ ὑπὲρ αὑτοῦ ἐξιν ἀπολογεῖσθαι. ἀλλὰ γὰρ, ὦ ἄνδρες, καθήμενος ἡνίκα μὲ κατηγόρει, βλέπων εἰς αὐτὸν, ἠδέν ἄλλο ἢ ἀπὸ τῶν τριάκοντα συνειλημμένος, ἔδοξα κρίνεσθαι. εἰ 33.
γὰρ τότε ἠγωνιζόμην [3], τίς ἂν μὲ κατηγόρει; οὐχ ὅστος ὑπῆρχεν [4] εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν [5], ἀνέκρινε δ' ἄν με τίς ἄλλος, ἢ Χαρικλῆς [6]; ἐρωτῶν· Εἰπέ μοι, ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν; καὶ ἐπετείχισας [7] τῇ πατρίδι τῇ σεαυτοῦ; 36.
Οὐκ ἔγωγε. Τί δὲ; ἔτεμες τὴν χώραν, καὶ ἐλήϊσω ἢ κατὰ γῆν ἢ κατὰ θάλασσαν τοὺς πολίτας τοὺς σεαυτοῦ;

2. ἑταιρῶν] imo vero ἑτέρων. opponuntur inter se ἑτέρων κατηγορεῖν et ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι.

3. εἰ γὰρ τότε ἠγωνιζόμην] apodosis huius sententiae paulo circumductioris habetur versu 40. in ἆρ' οἴεσθε.

4. κατηγόρει, οὐχ οὗτος ὑπῆρχεν] videtur sic leg. et distinguendum esse. κατήγορος, εἰ οὐχ ὅστος, ὑπῆρχεν. ecquis alius mei futurus fuisset accusator, si non hic fuisset, supposito nempe, me noluisse illum pecunia placare.

5. καὶ γὰρ νῦν] videtur hic aliquid deesse. ὁρᾶτε οἷος πρός ἐμε ἐστὶ.

6. ἄλλος ἢ χαρικλῆς] pone ἄλλος videtur κριτίας deesse.

7. ἐπετείχισας] sic correxit Stephanus Aldinae ἐπεξείχισες.

σεαυτῷ; Οὐ δῆτα. Οὐδ' ἐναυμάχησας ἐναντία τῇ πόλει; ἠδὲ συγκατέσκαψας τὰ τείχη; οὐδὲ
39. συγκατέλυσας τὸν δῆμον; ἠδὲ βίᾳ κατῆλθες εἰς τὴν πόλιν; ἠδὲν τούτων πεποίηκας; Οὐδέν. δοκεῖς ἔν χαιρήσειν, ἢ ἐκ ἀποθανεῖσθαι, ὡς ἕτεροι πολλοί; Ἆρ' οἴεσθε, ὦ ἄνδρες, ἄλλων τινῶν τυχεῖν δ' ὑμᾶς [8], εἰ ἐλήφθην ὑπ' αὐτῶν; ἐκεῖν δεινὸν, εἰ ὑπὸ
42. μὲν τούτων διαι τοῦτ' ἂν ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν ἠδὲν ἥμαρτον, ὥσπερ καὶ ἑτέρους ἀπέκτειναν· ἐν ὑμῖν δὲ κρινόμενος, ὃς ἠδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; πάντως δήπε [9]· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων [10]. ἀλλὰ γὰρ, ὦ ἄνδρες, τὴν μὲν ἔνδειξιν ἐποιήσαντό με κατὰ νόμον κείμενον· τὴν δὲ
14.1. κατηγορίαν, κατὰ τὸ ψήφισμα καὶ πρότερον γεγενημένον [11] περὶ ἑτέρων. εἰ ἔν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε, μὴ ἐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσή-
3. κει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον· τοῦτο μὲν, οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι [12] διηλάγητε, καὶ ὅρκους ὠμόσατε· τοῦτο δὲ, ὃς

8. δι' ἡμᾶς] dedi δι' ὑμᾶς. putatisne me pro illo meo erga vos ſtudio, aliud quidquam, quam mortis poenam, fuiſſe conſecuturum?

9. πάντως δήπε] ſcil. σωθήσομαι ἐν ὑμῖν.

10. ἢ σχολῇ γε τις ἄλλος ἀνθρώπων] ſcil. σωθήσεται ἐν ὑμῖν, εἰ μὴ ἐγὼ σωθήσομαι.

11. κατὰ τὸ ψήφισμα καὶ πρότερον γεγενημένον] videtur leg. κατὰ τὸ ψήφισμα τὸ καὶ πρότερον ἄκυρον γεγενημένον. *quod etiam iam dudum ante in aliis factum fuit irritum.*

δὲ, ὃς Φεύγοντας κατηγάγετε· τοῦτο δὲ, ὃς ἀτίμους ὄντας, ἐπιτίμους ἐποιήσατε. ὧν ἕνεκα καὶ στήλας ἀνείλετε, καὶ νόμους ἀκύρους ἐποιήσατε, καὶ τὰ ψη- 6.
φίσματα ἐξηλείψατε· οἱ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγε-
νημένων, τίνα αὐτοὺς χρὴ γνώμην ἔχειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθί- 9.
σασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσον-
ται γὰρ πολλοὶ μὲν ἐχθροὶ, πολλοὶ δὲ συκοφάνται, οἳ κατασήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις· ἀλλ' οἱ μὲν, εἰσόμενοι, εἰ ἢ χρὴ [13] 12.
πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις, καὶ τοῖς ὅρκοις, ὃς ὠμόσατε ἀλλήλοις· οἱ δὲ, ἀποπειρώμενοι τῆς ὑ-
μετέρας γνώμης, εἰ αὐτοὺς [14] ἐξέσται ἀδεῶς συκοφαν-
τεῖν [15] καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ 15.
ἀπάγειν. ὅτως ἔν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμε-
τέρα δημοσίᾳ κρίνει [16], πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν, ἢ τοὺς συκοφάντας παρασκευά-
ζεσθαι.

12. μαχεσάμενοι] potest ferri. malim tamen in datiuo μαχεσαμένοις.

13. εἰ ἢ χρὴ] πότερον εἰ χρὴ. STEPHANVS in margine. cui si accedere nolumus, leg. εἴ τι χρὴ.

14. αὐτοὺς] malim αὐτοῖς.

15. ἀδεῶς συκοφαντεῖν] Stephanus interponi vult τοὺς μὲν.

16. κρίνει] πότερον κρινεῖ. Stephanus in margine.

18. ζεσθαι, ἢ Φεύγειν[17] αὐτὸς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα. Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν, ἃ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βέλομαι καὶ περὶ τούτων εἰ-
21. πεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι, γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι[18] μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφυγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ, καὶ Χαρίᾳ[19], οὗ ἐκεῖ-
24. νος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα, τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν· τοὺς δὲ, μένειν ἐν τῇ πόλει ἐάσαντες, ἠτίμωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες
27. τῶν συμφορῶν τῶν ἐπισῶν τὸ μέγεθος, καὶ τὴν παρασκευὴν τοῦ βασιλέως, ἔγνωσαν τούς τε φυγόντας καταδέξασθαι, καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι, καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους

ποιήσα-

17. παρασκευάζεσθαι, ἢ Φεύγειν] Stephanus comma et ἢ sublata vult. Sed bene habet vulgata. tres proponit conditiones 1. fidere legibus, aut 2. Sycophantas, quadruplatores, sibi conciliare pecuniis, ne molesti nobis sint; aut denique 3. plane fugere patrium solum.

18. οἱ τύραννοι] Pisistratidae.

19. Χαρίᾳ] Χαβρίᾳ suadet Stephanus in margine. nil intercedo, dummodo non de illo celebri Chabria, qui Demosthenis paene fuit aequalis, sed de aliquo vetustiore, Pisistratidis aequale, accipiatur.

ποιήσασθαι. πράξαντες δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐ- 30.
τοὺς προτάξαντας πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε· νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί 33.
τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν, καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ τοιοῦτον ἐργασάμενοι, ἐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα τὴν πόλιν ἀνάσατον παραλαβόντες, ἱερά τε κατακεκαυμένα, τεί- 36.
χη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε ἐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν, τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο, καὶ τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν 39.
καὶ αὐτοὶ ὕστερον, κακῶν ἐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες, ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν. ἠξιώσατε γὰρ τοὺς τε φεύγοντας καταδέξασθαι, καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί ἔν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ 42.
μνησικακῆσαι, εἰδότας, ὦ ἄνδρες, ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις. Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας, ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ· νό- 15.1.
μος δὲ ἦν πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. καὶ οὕτως εἰσὶ τολμηροὶ, ὥσθ' οἱ αὐτοὶ

κατε-

3. κατεσκεύασαν, ἐκ ἀρκεῖ αὐτοῖς, ὅτι οὐ κατέσχον, ἃ ἐπεβέλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιῆνται ὡς ἀδικοῦντος. ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν, καὶ ἡ ἔνδειξις ἐγεγένητο, προσήει [20] ὁ βασιλεὺς περὶ τῶν γεγενημένων ἐν Ἐλευσῖνι κατὰ τὴν τελετήν,
6. ὥσπερ ἔθος ἐστίν. οἱ δὲ πρυτάνεις προσάξειν [21] ἔφασαν αὐτὸν πρὸς τὴν βουλήν, ἀπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον. ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε, κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυ-
9. στηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ προειρημένα· καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκε τὴν σκευὴν [22]

ἔχων,

20. προσήει] scil. πρὸς τοὺς πρυτάνεις, ἀναφέρων πρὸς αὐτὸς περὶ —

21. προσάξειν] sic correxit Stephanus Aldinae προσάξειν, et linea proxima ἐκέλευον, pro vitioso ἐκέλεον, et versu 12. καταθείη pro καθείη.

22. τὴν σκευὴν] quaenam fuit haec σκευὴ, et habitus, quem habuit Callias Hipponici? Procul dubio vestis sacra τῦ δαδέχου, id est eius, qui facem praeferebat mysteriis Cereris. fuit enim id sacerdotium in Calliae familia πατροπαράδοτον. Iam a primo illo Callia, qui Laccoplutus ob diuitias dicebatur, et δαδοῦχος etiam ex officio vocabatur, vt videre est apud Plutarch. in Aristide et apud Scholiasten Aristophanis ad Nubes, cuius verba hic apponam, quia ad rem maxime faciunt. Καλλίας δὲ ὁ δαδοῦχος, προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ περσῶν ἐν μαραθῶνι, καὶ ἀριστεύσας κατὰ βαρβάρων, καὶ τρίτον ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν ἱππόνικον ὠνόμασε. quam vestem scholiastes appellat ἱερὰν

ἔχων, λέγει, ὅτι ἱκετηρία κεῖται ἐπὶ τῷ βωμῷ· καὶ ἔδειξεν αὐτοῖς, τίς τὴν ἱκετηρίαν [23] καταθείη, καὶ ἠδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρέσημεν, καὶ ὅστος [24] 12. ἡμᾶς ἑώρα. ἐπειδὴ δὲ ἠδεὶς ὑπήκουεν [25], καὶ ὤχε-το [26] εἰσιών, ἐπεξελθὼν [27] Εὐκλῆς [28] οὑτοσί. καί μοι κάλει αὐτόν. πρῶτα μὲν ἦν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις. ΜΑΡΤΥΡΙΑ. Ὡς μὲν ἀληθῆ λέγω μεμαρτύρηται· πολὺ δέ μοι 15. δοκεῖ τὸ ἐναντίον εἶναι, ἢ οἱ κατήγοροι εἶπον. ἔλεξαν γὰρ

σολὴν, Andocides hoc loco alio nomine σκευὴν vocauit. PALMERIVS.

23. καὶ ἔδειξεν αὐτοῖς τὶς τὴν ἱκετηρίαν] duplex hic est via emendandi. aut 1. καὶ ἐδείξεν αὐτοῖς (scil. κειμένην ἐπὶ τῷ βωμῷ τὴν ἱκετηρίαν) καὶ ἠρώτα τὶς τὴν ἱκετηρίαν καταθείη, monstrabatque iis (senatoribus puta) iacentem in ara ramum supplicatorium, et interrogabat, quis eum deposuisset. aut 2. καὶ ἔδοξεν αὐτοῖς ἐπερωτᾶν τὶς τὴν ἱκ. καταθείη. et visum ipsis fuit interrogare, quis ramum deposuisset.

24. οὗτος] vter, Callias, an Cephisius? arbitror, hic potius.

25. ὑπήκουεν] sic correxit Stephanus Aldinae ἐπήκουεν.

26. ὤχετο] Callias puta, a nobis discessit, extra curiam stantibus, et intro ad senatores in curia considentes rediit. hoc vult verbum εἰσιών.

27. ἐπεξελθὼν] post Calliam cum e curia ad nos exisset Eucles. qui nescio praeco an quicunque tandem fuit.

28. Εὐκλῆς] apodosis huius nominis est versu 23. ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς. Sed videtur potius aliquod verbum h. l. deesse.

γὰρ (εἰ μέμνησθε,) ὅτι αὐτῷ μὲν [29] τῷ θεῷ περιαγάγοιεν, ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν
18. νόμον, ἵνα δῷ [30] δίκην. ἐγὼ δὲ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐτοῖν μὲν
φημὶ τοῖν θεοῖν [31] σεσῶσθαι. εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο τί ἢ αὐτὸς μὲν αὑ-
τὸν ἀπώλλυον, τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ
21. τῇ τύχῃ, διὰ τὸ μὴ ὑπακοῦσαι, δηλονότι διὰ τὼ θεώ; εἰ γὰρ ἐβεληθήτην με ἀπολεῖν καὶ τὼ θεὼ,
ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. ἀλλ' ἅτε ὑπήκουσα, ἅτ' ἔθηκα. ἐπειδὴ δ' ἔλεγε
τῇ βουλῇ Εὐκλῆς, ὅτι ἐδεῖς ὑπακούει, πάλιν ὁ Καλ-
24. λίας φὰς ἔλεγεν, ὅτι εἴη νόμος πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν·
καὶ ὁ πατήρ ποτ' αὐτὸς Ἱππόνικος ἐξηγήσατο ταῦτα Ἀθηναίοις. ἀκούσεσθε δὲ, ὅτι ἐγὼ θείην τὴν ἱκε-
τηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος [32] ἑτοῖ, καὶ
27. λέγει· Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ κηρύκων [33], ὧν ἐχ ὅσιόν σοι

ἐξη-

29. μὲν] imo vero με.

30. δῷ] tolle jota ſubſcriptum, vt ſit prima perſona.

31. ὑπ' αὐτοῖν μέν φημι τοῖν θεοῖν] malim ὑπ' αὐταῖν μέ φημι ταῖν θεαῖν (an θεοῖν, nam hoc quidem perinde eſt)

32. Κέφαλος] aduocatus Andocidis, vt ex orationis fine conſtat.

33. κηρύκων] Schedae Scaligeri κηρυκτων. quod neſcio quid ſibi velit.

ἐξηγεῖσθαι· ἔπειτα δὴ νόμον [34] πάτριον λέγεις. ἡ δὲ σήλη, παρ' ἣ ἕστηκας, χιλίας δραχμὰς κελεύει ὀφείλειν ἐάν τις ἱκετηρίαν θῇ ἐν τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας, ὅτι Ἀνδοκίδας [35] θείη τὴν ἱκε- 30.
τηρίαν; κάλεσον αὐτὸν [36] τῇ βελῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν. ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ σήλη, καὶ ἐκεῖνος ἐκ εἶχεν εἰπεῖν, ὅτε ἤκουσε, καταφανὴς ἦν τῇ βελῇ αὐτὸς τιθεὶς [36 b.] τὴν ἱκετηρίαν. φέρε δὴ τοίνυν, ὦ ἄνδρες, (τάχα γὰρ ἂν αὐτὸ βέλεσθε [37] πυθέ- 33.
σθαι) ὁ δὲ Καλλίας τί βελόμενος ἐτίθη τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι, ὧν ὑπ' αὐτῷ εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν, ὁ Τισάνδρου, θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς. ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέ- 36.
ρας δὲ δύο καταλιπών, αἳ ἐγίνοντο εἴς τε ἐμὲ καὶ Λέαγρον. τὰ δὲ πράγματα τὰ οἴκοι πονήρως εἶχε.

τὴν

34. ἔπειτα δὴ νόμον] pro media voce vult Stephanus in margine δὲ. Sed δὴ mihi videtur reliquum esse e vera lectione ψευδῆ. Si componas τα et δη in vnum, facile efficias ψευδῆ. nam ψ in codicibus manuscriptis ita exaratur, vt similimum sit literae τ, et α atque ευ etiam aegre distingui possunt. Lego itaque ἔπειτα ψευδῆ νόμον πάτριον λέγεις.

35. Ἀνδοκίδας] Stephanus in margine mauult Ἀνδοκίδης.

36. αὐτὸν] id est ἐκεῖνον τὸν δεῖνα, ὑφ' οὗ συ φὴς τοῦτο ἀκηκοέναι.

36 b. τιθεὶς] malim θεὶς in aor. 2.

37. βέλεσθε] πότερον βούλησθε. margo Stephani. non video qua de causa. Ob ἄν praemissum? Etiam cum indicatiuis id construitur.

τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατ-
ἐλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τά-
39. λαντα. ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν
φίλων, ἔλεγον, ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν
τοῖς τοιούτοις δεικνύναι τὰς οἰκειότητας ἀλλήλοις.
ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν ἔτε χρήματα ἕτερα [38], ἔτ'
εὐτυχίαν ἀνδρὸς [39] ἑλέσθαι, ὥστε καταφρονῆσαι
42. τῶν Ἐπιλύκου θυγατέρων. καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος,
ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἀξιοῦμεν [40]
ἄν, γένει ὄντες ἐγγυτάτω, ἔχειν τὰς παῖδας. τοι-
γάρτοι ἐκεῖναι [41] μὲν δι' Ἐπίλυκον ἂν ἦν, ἢ διὰ τὰ
χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν τάδε [42]
16.1. ἔσαι. τῆς μὲν ἕν σὺ ἐπιδικάζῃ, τῆς δὲ ἐγώ. ὡμολό-
γησέ μοι, ὦ ἄνδρες· ἐπεδικασάμεθα ἄμφω, κατὰ
τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς μὲν ἐγὼ ἐπεδικα-
3. σάμην, ἡ παῖς τύχῃ χρησαμένη, καμοῦσα ἀπέθα-

38. χρήματα ἕτερα] id est ἄλλην γυναῖκα πλου-
σίαν.

39. εὐτυχίαν ἀνδρὸς] id est, opes alius alicuius so-
ceri locupletis.

40. ἀξιοῦμεν] malim ἠξιοῦμεν in imperfecto, aut
ἀξιοῖμεν in optatiuo.

41. ἐκεῖναι] si scil. Epilyci filias domum duxisse-
mus, aut patre adhuc in viuis superstite, aut post ex-
cessum eius quidem, verumtamen bene dotatas, visi
fuissemus eas duxisse aut ob Epilycum, eius gratia,
aut ob pecunias.

42. τάδε] quod puellas ducamus indotatas patre
in rebus accisis defuncto.

νεν· ἡ δ' ἑτέρα ἐστὶν ἔτι. ταύτην [43] Καλλίας ἔπεισθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐὰν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγὼ, εὐθὺς ἔθηκα παράσασν- καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι εἰ μὲν σὺ βέλη ἐπιδικάζεσθαι, ἔχε τύχη ἀγαθῇ· εἰ δὲ μὴ, ἐγὼ 6. ἐπιδικάσομαι. γνὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτῦ τῆς ἐπικλήρε, τῇ δεκάτῃ ἱσαμένου, ἵνα μὴ δικάσωμαι ἐγώ· ταῖς δ' εἰκάσι, μυσηρίοις τέτοις, δὲς Κηφισιῷ χιλίας δραχμὰς, ἐνδείκνυσί με, καὶ εἰς τὸν ἀγῶνα τῦτον καθίσησιν. ἐπειδὴ δ' 9. ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον, ἢ ἐξελῶν, αὐτὸς δὲ πείσων [44] Λέαγρον χρήμασι, συνοικήσων τῇ Ἐπιλύκε θυγατρί. ἐπειδὴ δ' ἔτως [45] ἑώρα ἄνευ ἀγῶνος ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον 12. ἡγεμόνα, ἐπεχάρη [46], ὁρῶν φίλες ὄντας ἐμοὶ χρωμένες [47]. εἰς τῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ'

43. ταύτην] sic correxit Stephanus Aldinae ταύτη.

44. πείσων] quod dudum ante conieceram, πείσας, id reperio nunc quoque in schedis Scaligeri. Constructio est συνοικήσων τῇ Επιλύκε (nisi is potius Epilytus est) θυγατρὶ, πείσας, (id est μετὰ τὸ πεῖσαι) Λέαγρον.

45. οὕτως] aut οὔ πως leg. videtur, aut ἐχ ἔτως.

46. Λυσίστρατον ἡγεμόνα, ἐπεχάρη] videtur leg. Λυσίστρατον, Ἡγέμονα, Επιχάρη. Sunt enim nomina propria.

47. ὁρῶν φίλες ὄντας ἐμοὶ χρωμένες] idem est ac si dixisset ὁρῶν αὐτὲς ἐμοὶ χρωμένες διὰ τὸ φίλες ἐμοὶ

ὥστ᾽ ἔλεγε πρὸς τάτες, ὡς, εἰ ἔτι καὶ νῦν βελοίμην
15. ἀποξῆναι τῆς Ἐπιλύκε θυγατρὸς, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ᾽ ἐν τοῖς φίλοις δέναί με [48] τῶν πεποιημένων [49]. εἶπον αὐτῷ [50] καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλες. εἰ δ᾽ ἐγὼ αὐτὸν ἀποφθέγξομαι [51],
18. καὶ γνώσονται Ἀθηναῖοι περὶ ἐμὲ τὰ δίκαια, καὶ ἐγὼ αὐτὸν οἶομαι περὶ τὲ σώματος τὲ ἑαυτὲ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ αὐτῷ [52] ἃ ψεύσομαι, ἐὰν ὑμῖν, ὦ ἄνδρες, δοκῇ. ὡς δ᾽ ἀληθῆ λέγω, κάλεσόν μοι τὲς μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Ἀλλὰ γὰρ
21. τὸν οἷον αὐτὲ τῆτον, ὃν λαχεῖν ἠξίωσε τῆς Ἐπιλύκε θυγατρὸς, σκεψασθε, πῶς γέγονεν, καὶ πῶς ἐποιήσατ᾽ αὐτόν. ταῦτα γὰρ καὶ ἄξιον ἀκέσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχε θυγατέρα· ταύτῃ

εἶναι. videns eos me familiariter vtentes, vtpote mihi amicos.

48. μου cohaeret cum φίλοις. inter amicos meos, h. e. secundum id quod essent amici mei de se pronuntiaturi; quos credibile sit, magis secundum me, quam secundum se, Calliam, iudicaturos esse, vt mihi amicos, non illi.

49. τῶν πεποιημένων] scil. ἑαυτῷ κατ᾽ ἐμοῦ.

50. εἶπον αὐτῷ] hic deest aliquid, siue οὖν post εἶπον, aut δι᾽ ὧν εἶπον αὐτῷ. Nam post πεποιημένων figendum est punctum, absoluta ibi sententia.

51. ἀποφθέγξομαι] lege ἀποφεύξομαι.

52. αὐτῷ] sic dedit Stephanus pro αὐτῶν, quod est in Aldina. Ego potius αὐτὸν inde effeciissem. graeci dicunt ψεύδεσθαί τινά τι, pro εἴς τι, vel κατά τι.

δὲ συνοικήσας ἐδ' ἐνιαυτὸν, τὴν μητέρα [53] αὐτῆς ἔλαβε· καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀν- 24.
θρώπων τῇ μητρὶ καὶ τῇ θυγατρὶ, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός [54]· καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ ἔτος μὲν ἐκ τοσούτου ἐδ' ἔδεισε τὸ θεῖον· ἡ δὲ Ἰσχομάχη θυγάτηρ τεθνᾶναι νομίσασα λυσιτελεῖν, ἢ ζῆν ὁρῶσα τὰ γινόμενα, ἀπαγ- 27.
χομένη μεταξὺ κατεκλίθη· καὶ ἐπειδὴ ἀνεβίω, ἀποδράσασα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμένος, ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κύειν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν μὲν [55] εἶναι ἐξ 30.
αὑτῷ τὸ παιδίον· λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον, ἦγον [56] ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον καταῤῥάσσαι τὸν Καλλίαν. ὁ δ' ἠρώτα, τίνος εἴη τὸ παιδίον· ἔλεγον, Καλλίᾳ τῷ Ἱππονίκου. ἐγώ εἰμι ἔτος· καὶ ἔστι γε σὸν 33.
τὸ παιδίον. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἢ μὴν μὴ εἶναι [56 b.] υἱὸν ἄλλον, μηδὲ γενέσθαι πώποτε, εἰ μὴ Ἱπ-
πόνικον

53. τὴν μητέρα] simile scelus narrat Cicero quoque in Cluentina.

54. τῆς μητρὸς καὶ τῆς θυγατρὸς] aut delenda sunt haec, aut accipienda de Cerere atque Proserpina.

55. μὲν] imo vero μὴ.

56. ἦγον] sic correxit Stephanus Aldinae οἷον. In Scaligeri schedis est ἴον. videtur vtique οιον perperam iteratum esse e διον, fine vocabuli proximi παιδίον. Sed tum deest aliquid, si et οἷον expellas, et ἦγον. num ἔτίθεσαν. *ponebant* puerum super ara.

56 b. εἶναι υἱὸν] interpono οἱ *sibi*.

πόνικον ἐκ τῆς Γλαύκωκος θυγατρός· ἦ ἐξώλη εἶναι
36. καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσαι. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν· καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα, εἰσάγει εἰς κήρυκας, Φάσκων εἶναι υἱὸν αὐτῷ·
39. ἀντεῖπε μὲν Καλλίδης [57] μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ κήρυκες, κατὰ τὸν νόμον, ὅς ἐστιν, αὐτὸν τὸν πατέρα ὀμόσαντα εἰσάγειν, ἢ μὴν υἱὸν οὗτος [58] ἑαυτῷ εἰσάγειν. λαβόμενος τῷ βωμῷ, ὤμοσεν ἢ μὴν τὸν παῖδα ἑαυτῷ εἶναι γνήσιον, ἐκ Χρυ-
42. σιάδος [59] γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τὰς μάρτυρας κάλει. ΜΑΡΤΥΡΕΣ. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα, εἴποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπῳ γυναῖκά τις γήμας, ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα, καὶ
17.1. ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν, βέλεται τὴν Ἐπιλύκῃ θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ παιδίῳ αὐτῷ τί χρὴ τόνομα θέσθαι; οἶμαι γὰρ ἔγω-
3. γε ἁδένα ἔτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει [60] τόνομα αὐτῷ. τριῶν γὰρ ἐσῶν γυναικῶν,

57. Καλλίδης] imo vero Καλλιάδης. qui videtur princeps Cerycum fuisse.

58. οὗτως] imo vero ὄντως. et sic quoque schedae Scaligeri.

59. χρυσιάδος] imo vero χρυσίδος. Chrysis nomen est foemininum, non Chrysias.

60. ἐξευρήσει] sic correxit Stephanus Aldinae ἐξωρήσει. melius vtique, quam Scaliger ἐξορίσει.

αἷς συνῳκηκὼς ἔςαι ὁ πατὴρ αὐτȣ̃, τῆς μὲν υἱός
ἐςιν, ὥς φησι, τῆς δὲ ἀδελφὸς, τῆς δὲ θεῖος. τίς
ἂν εἴη ȣ̃τος; Ὀιδίπȣς, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐ-
τὸν ὀνομάσαι; ἀλλὰ γὰρ, ὦ ἄνδρες, βραχύ τι ὑ- 6.
μᾶς ἀναμνῆσαι περὶ Καλλίȣ βȣ́λομαι. εἰ γὰρ μέμνη-
σθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων, καὶ εὐδαιμό-
νει μάλιςα, Ἱππόνικος δὲ ἦν πλȣσιώτατος τῶν Ἑλ-
λήνων, τοτε μέντοι πάντες ἴςε, ὅτι παρὰ τοῖς παι-
δαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν 9.
ἁπάσῃ τῇ πόλει κατέσχεν, ὅτι Ἱππόνικος ἐν τῇ
οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτȣ̃ τὴν τράπεζαν ἀνα-
τρέπει. μέμνησθε ταῦτα, ὦ ἄνδρες. πῶς ȣ̃ν ἡ
φήμη ἡ τότε ȣ̃σα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ 12.
Ἱππόνικος υἱὸν αὑτῷ τρέφειν, ἀλιτήριον αὑτῷ ἔτρε-
φεν· ὃς ἀνατέτροφεν ἐκείνȣ τὸν πλȣ̃τον, τὴν σω-
φροσύνην, τὸν ἄλλον βίον ἅπαντα. ȣ̃τως ȣ̃ν χρὴ περὶ
τȣ́τȣ γινώσκειν, ὡς ὄντος Ἱππονίκȣ ἀλιτηρίȣ. ἀλλὰ
γὰρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις 15.
μετὰ Καλλίȣ, καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα,
καὶ χρήματα εἰσενεγκȣ̃σιν ἐπ' ἐμοὶ, τρία μὲν ἔτη
ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρȣ, ȣ̓κ ἀσεβεῖν ἐδόκȣν αὐ-
τοῖς [61], μυῶν μὲν ἀδελφὸν, ἔτι δὲ ἄλλȣς ξένους ἐμαυ-
τοῦ,

61. αὐτοῖς delendum videtur, vt inutile poſt praecedentes tres datiuos, aut cum αὐτὸς eſt mutandum. Sed tum diſtinctio quoque erit mutanda, ad hunc modum ἐδόκȣν, αὐτὸς μυῶν τὸν ἀδελφὸν, ἔτι δὲ καὶ ἄλλȣς ξένȣς. Sed illud prius praefero, ſcil. αὐτοῖς hic ſublatum, et cum αὐτοὶ mutatum, in verſum 19. de-

18. τοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον, καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τἀναντίον λειτουργεῖν ἔτοι πρεβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθέωρον εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε· εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν
21. χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά. ἐγὼ ὑμῖν ἐρῶ, διότι ἔτοι ταῦτα νῦν γινώσκουσιν· Ἀργύριος γὰρ ἔτοσι, ὁ καλὸς κἀγαθὸς ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς [62] τρίτον ἔτος, καὶ ἐρίατο τριάκοντα ταλάντων. μετέσχον δ' αὐτοὶ [63] ἔτοι
24. πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λευκὴν τὸ, πόσους ὑμεῖς [64] ἴσε οἷοι εἰσίν· οἱ διὰ τᾶτο ἔμοιγε δοκᾶσι

fero, collocans pone οὗτοι, vt fit ἐδόκεν, μυῶν μὲν ἀδελφὸν — λειτουργεῖν οὗτοι αὐτοὶ πρεβάλλοντο.

62. ἄρχων, εἷς ἐγένετο τῆς πεντηκοστῆς] Intelligo πεντηκοσταλόγον, id est publicanum, qui scilicet hoc tributum redemerat a publico, et a singulis exigebat. Semper autem male audierunt tales homines, et probrosum existimatum est id officium, nec iniuria in sacris scripturis cum ethnicis et infidelibus coniunguntur. PALMERIVS.

Ex ἄρχων, εἷς efficio vnum vocabulum ἀρχώνης, princeps collegii eius, quod vectigal quinquagesimae redemit. Pro Argyrio videtur potius Agyrrhius esse leg. conf. Vales. ad Harpocr. p. 23. 91. 209.

63. αὐτοὶ] malim αὐτῷ.

64. παρασυλλεγέντες ὑπὸ τὴν λεύκην τὸ, πόσους ὑμεῖς] πότερον, παρασυλλεγέντες εἰς τὸν ὑπὸ τὴν λεύκην τόπον, οὓς ὑμεῖς. STEPHANVS in margine. Postremum quidem recte, οὓς puta, caetera minus. Nil aliud quam tolle τόπος, quod e scholio irrepsit. Scri-

συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλωσι [65] λαβεῖν ἀργύριον, καὶ ὀλίγον [66] πραθείσης μετασχεῖν. κερδάναντες δὲ δύο [67] τάλαντα, γνῶναι [68] τὸ πρᾶγμα οἷον εἴη, ὡς πολοῦ 27.
ἄξιον, συνέσησαν πάντες· καὶ μεταδόντες [69] τοῖς ἄλλοις [70], ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' ἐκ ἀντωνεῖτο ἀδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν, ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκον- 30.
τα ταλάντων. ἀπελάσας καὶ [71] τούτους, καὶ κατα-
σήσας

pferat aliquis ſuper λεύκην pro annotatione τόπος, vt indicaret, illo vocabulo deſignari locum aliquem. Id poſtea in textum fuit ipſum immiſſum. Lege itaque λεύκην, οὗς ὑμεῖς — Videtur λεύκη locus Athenis fuiſſe, vbi auctiones vel licitationes haberentur rerum publice venalium, vt vectigalium, ſic dictus a populo quadam ingente et vmbroſa, ſub qua multi conuenirent.

65. ὑπερβάλλωσι] ſic dedit Stephanus, pro Aldinae ὑπερβάλωσι.

66. ὀλίγου] imo vero ὀλίγῳ ſcil. ἀργυρίῳ. πραθείσης redit ad τῆς πεντηκοστῆς.

67. δύο] num ἓξ v. verſu 33.

68. γνῶναι] malim ὥστε γνῶναι. adeo, vt ſcirent qualis res eſſet, et quanti facienda, ſcil. redemtio quinquageſimae.

69. μεταδόντες] ſcil. τῷ κέρδους τῷ ἑαυτοῖς προσγεγενημένης ἐκ τῆς προτέρας ὠνῆς.

70. τοῖς ἄλλοις] τοῖς ἐν τῇ μετὰ ταῦτα πράσει τῆς πεντηκοστῆς ἀντωνεῖσθαι καὶ ὑπερβάλλειν βουλομένοις — ἐπὶ τῷ μὴ τοῦτο ποιεῖν ἀλλ' ἡσυχάζειν καὶ σιγᾶν, καὶ τούτους ἐὰν ἐλαχίστου ὠνεῖσθαι.

71. καὶ medii loco leg. δὲ.

σήσας ὑμῖν ἐγγυητὰς, ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει· καὶ αὐτὸς ἐκ ἐζημιώθην [72], ἀλλὰ καὶ βραχέα ἀπεκερδάνομεν οἱ μετασχόντες·
33. τέτας δ' ἐποίησα τῶν ὑμετέρων μὴ διανείμασθαι ἐξ τάλαντα ἀργυρίε. ἃ ἔτοι γνόντες, ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι ἄνθρωπος ἐτοσὶ ἔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων, ἔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσαι διανείμασθαι [73] τὰ κοι-
36. νά. πρὸς δὲ τέτοις, ὃν ἂν ὑμῶν ἀδικῆντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. δεῖ ἕν τοῦτον ἐκποδὼν ὑμῖν [74] εἶναι καὶ δικαίως, καὶ ἀδίκως. ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, τέτοις ποιητέα ἦν· ὑμῖν δέ γε ἐναντίον τέτων· τὰς γὰρ πλείστας εἶναι ἡμῖν [75]
39. ἤθελον ἂν τοιούσδε, οἵοσπερ ἐγὼ, τέτας δὲ μάλιστα ἀπολωλέναι [76]· εἰ δὲ μὴ, εἶναι τὰς μὴ ἐπιλελέγονται αὐτοῖς· οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον [77]· καὶ βουλόμενοι δυνήσονται εὖ ποιεῖν ὑμᾶς. ἐγὼ ἕν [78] ὑ-

μῖν

72. ἐκ ἐζημιώθην] pro οὐ μόνον, ἐκ ἐζημ.

73. ἐμποδὼν ἔσαι διανείμασθαι] idem est ac si dixisset ἐμποδὼν ἡμῖν ἔσαι τῷ διανείμασθαι, vel πρὸς τὸ διαν.

74. ὑμῖν bene potest habere, si quis vnus fingitur hac oratione ad reliquos collegas vtens. alias praestet ἡμῖν.

75. ἡμῖν] malim h. l. ὑμῖν.

76. μάλιστα ἀπολωλέναι] interpono μὲν.

77. πλῆθος ὑμέτερον] interposui τὸ ex Aldina.

78. ἐγὼ οὖν] interpono μὲν, cui respondet δὲ versu vlt.

μῖν ὑπισχνοῦμαι, ἢ παύσειν τούτους ταῦτα ποιοῦν- 42.
τας, καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν,
κολάσειν τοὺς ἀδικοῦντας αὐτῶν.

Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν,
καὶ περὶ τῆς ἐμπορίας, ὡς ἄρα οἱ θεοὶ διὰ τοῦτό 18.1.
με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο (ὡς ἔοι-
κεν) ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δὲ, ὦ Ἀθηναῖοι,
οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ 3.
ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν
τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι. τίς γὰρ κίν-
δυνος μείζων ἀνθρώποις, ἢ χειμῶνος ὥραν πλεῖν τὴν
θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμὸν,
κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα
ἔσωζον. οὐκ ἐξῆν [79] αὐτοῖς ποιῆσαι μηδὲ ταφῆς τὸ 6.
σῶμα ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομένου, καὶ τριη-
ρῶν ἀεὶ κατὰ θάλατταν οὐσῶν, καὶ λῃστῶν, ὑφ' ὧν
πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύον-
τες τὸν βίον διετέλεσαν· οὔσης δὲ χώρας βαρβάρου,
εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις 9.
περιέπεσον, καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκι-
σθέντα [80], ἀπέθανον· εἶτα οἱ μὲν θεοὶ ἐκ τῶν το-
σούτων

79. οὐκ ἐξῆν —] modo interrogationis hanc ſententiam exhibuit Stephanus, non male. Poſſis quoque ex οὐκ efficere οὐ καὶ. *vbi etiam.* Scaliger ἐξὸν malebat. quod ſic poſſit accipi, ac ſi ſcriptum eſſet ἐξὸν αὐτοῖς τοῦτο οὐ ποιῆσαι, ἀλλὰ ποιῆσαι τὸ σῶμα μηδὲ ταφῆς ἀξιωθῆναι. Sed vereor, ne dura nimis haec ſit ratio, et nemini probabilis futura.

80. αἰκισθέντα] πότερον αἰκισθέντες. STEPHA-

σάντων κινδύνων ἔσωζόν με, σφῶν δὲ αὐτῶν προέμησαντο τιμωρὸν γενέσθαι Κηφίσιον, τὸν πονηρότατον Ἀ-
12. θηναίων, ὧν ἔτός φησι πολίτης εἶναι, ἐκ ὧν· ᾧ δὲ ὑμῶν τῶν καθημένων ἐδεὶς ἂν ἐπιτρέψειεν ἐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν. ἐγὼ μὲν ἔν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τὰς τοιάτας κινδύνας[81], ἀν-
θρωπίνας· τὰς δὲ κατὰ θάλατταν, θείας. εἴπερ
15. ἔν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πολὺ[82] ἂν αὐτὰς οἶ-
μαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τὰς ὑφ' ἑαυτῶν σωζομένας, ὑπ' ἄλλων ἀπολλυμένας ὁρῷεν. καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον, ὦ ἄνδρες, ἐνθυ-
μηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι
18. καὶ εὐβελότατοι δοκεῖτε γεγενῆσθαι, ἐκ ἐπὶ τιμω-
ρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτη-
ρίαν

NVS in margine. mihi vulgata haec bona videtur, nisi quod ei addendum suspicer ἐπιδόντες, vel tale quid. postquam spectarunt ipsi suis oculis corpora sua dilaniata.

81. τοιάτους κινδύνους] a latronibus compilari, a barbaris in seruitutem redigi, tormentis subiici, morte affici, a calumniatoribus et delatoribus exagitari.

82. πολὺ] aut vitiosum est, aut pro σφόδρα debet accipi. Fui aliquando in suspicione deesse hic aliquid, vt totus locus sic procedat, πολὺ μᾶλλον ἂν αὐτὰς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τὰς ὑφ' ἑαυτῶν σωζομένας ὑπ' ἄλλων ἀπολλυμένας ὁρῷεν, ἢ εἰ τοὺς ὑφ' ἑαυτῶν ἐλαυνομένας ὑπ' ἄλλων σωζομένας. Id quidem sententia postulet, si πολὺ seruetur. Verum non opus est tanta molitione. Sufficiamus modo πάνυ, pro πολὺ et omnia bene habebunt.

ρίαν τῆς πόλεως, καὶ ὁμόνοιαν τῶν πολιτῶν. συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο, ἐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκό- 21.
τως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογεμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρὸς, μὴ μεταγνῶτε, μηδὲ βελεύεσθε [83] τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, 24.
μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι. δέομαι ἓν ἁπάντων [84] περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι· ἀναμνησθέντες [84 b.] αὐτῶν, ὅτι ὅμοιοι τοῖς πλείστων 27.
καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκεν σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας· καὶ ὅπως εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένηται, ἢ συμφορὰ, σώζοιντο, συγγνώμης παρ' ὑμῶν τυγχάνοντες. εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε. καὶ γὰρ 30.
τῇ πόλει ἁπάσῃ αἱ τῶν ἡμετέρων [85] προγόνων ἀ-

ρεταὶ

83. βελεύεσθε] Haud me fugit βουλεύεσθαι interdum pro βούλεσθαι vsurpari. malim tamen h. l. βούλεσθε.

84. post ἁπάντων videtur ὑμῶν deesse.

84 b. ἀναμνησθέντες] πότερον ἀναμνησθέντας. STEPHANVS in margine, vt scil. ad ἔχειν redeat.

85. ἡμετέρων] malim hic, et versu 35. ὑμετέρων legi. Legendum sic esse patet ex opposito καὶ τῶν ἐ-

ρεταὶ πλείσου ἄξιαι ἐγένοντο. ἐπειδὴ γάρ, ὦ ἄνδρες, αἱ νῆες διεφθάρησαν, πολλῶν βελομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακε-
33. δαιμόνιοι ἔγνωσαν, ὅμως τότε [86] ἐχθροὶ ὄντες, σώζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετὰς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν
36. προγόνων τῶν ἡμετέρων ἀρετὰς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, ἐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο. ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μετα-
39. δοῦναι τῆς σωτηρίας, ἥσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε. σκέψασθε τοίνυν καὶ τάδε· ἂν με σώσητε, οἷον ἔξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλῶ πλέτε, ὅσον ὑμεῖς ἴσε, ἐ δι' ἐμαυτὸν, ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν
42. καὶ ἀπορίαν κατέσην [87]. ἔπειτα δὲ καὶ βίον εἰργασάμην

μῶν verſu 36. Ratiocinatur ſic. Dignum eſt virtutis maiorum rationem habere, eique pericula poſterorum condonare. Lacedaemonii (ſic pergit per inductionem confirmare) cum eſſent vobis hoſtes infenſiſſimi, pepercerunt tamen vrbi, memoria moti rerum praeclare ab illis veſtris maioribus pro ſalute vniuerſae Graeciae geſtarum. Sic meorum quoque maiorum meritis par eſt a vobis id honoris deferri, vt propter eos huic me periculo eripiatis.

86. ἔγνωσαν, ὅμως τότε] comma pone ſecundum vocabulum collocem, cohaeret enim ὅμως ſiue cum ἔγνωσαν, ſiue cum σώζειν, non autem cum τότε ὄντες.

σάμην ἐκ τῆ δικαίᾳ, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτῆ. ἔτι εἰδότα [88] μὲν, οἷόν ἐστι πόλεως τοιαύτης πολίτην εἶναι, εἰδότα δὲ, οἷόν ἐστι ξένον εἶναι καὶ μέτοικον ἐν τῇ τῶν πλησίον· ἐπισάμενον δὲ, οἷον τὸ σωφρονεῖν, καὶ ὀρθῶς βουλεύεσθαι, ἐπισάμενον δ', 19.I.
οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγενόμενον. καὶ πλείων πειραθεὶς [89], ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλὰς καὶ βασιλέας, καὶ 3.
πόλεις, καὶ ἄλλας ἰδίᾳ ξένας [90] γεγένηνται· ὧν, ἐμὲ σώσαντες, μεθέξετε, καὶ ἔστιν [91] ὑμῖν χρῆσθαι τούτοις, ὅπῃ ἂν ἐν καιρῷ τι ὑμῖν γένηται. ἔχει δὲ καὶ ὑμῖν, ὦ ἄνδρες, ὕτως· ἐάν με νυνὶ διαφθείρητε, ἐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τῆ γένους τῆ ἡμετέρᾳ 6.
εὐδεὶς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι ἐκ ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδῃ καὶ Λεωγόρᾳ [92] οἰκία ἅσα·

ἀλλὰ

87. κατέσην] vnde colligi poteſt, me vobis eſſe deditiſſimum, eoque bonum ciuem.

88. ἔτι εἰδότα] interpono δ' aptus eſt hic accuſatiuus e πολίτην. verſu 40. *qualem me ſitis habituri ciuem, qui — praeterea quoque ſciam*

89. πειραθεὶς] πότερον πειραθέντα. STEPHANVS in margine. Amplectendum id vtique erit, ſi nihil deſit. Sed videntur nonnulla poſt κακῶς deeſſe. E. c. μετέσχον γὰρ ἀμφοτέρων, vtramque enim fortunam expertus ſum, πολλοῖς συγγενόμενος (in nominatiuo) καὶ πλείων πειραθεὶς, vtpote cum multis congreſſus.

90. ἰδίᾳ ξένας] diſtincte duobus vocabulis extulit idem, quod alii vno ἰδιόξενος appellant.

91. ἔστιν] πότερον ἔσαι. STEPHANVS in margine. Non admodum neceſſe arbitror eſſe.

92. λεωγόρᾳ] ſic correxit Stephanus Aldinae λεωγύρᾳ.

ἀλλὰ πολὺ μᾶλλον τότ' αὖ ὄνειδος [93], ὅτ' ἐμὲ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. οὐ γάρ ἐστιν,
9. ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν ὑπ' ἐκείνων· οἳ πλείστας μὲν στρατηγήσαντες στρατηγίας, πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ὑπέδειξαν [94], πλείστας δὲ ἄλ-
12. λας ἀρχὰς ἄρξαντες, καὶ χρήματα διαχειρίσαντες τὰ ὑμέτερα, οὐδὲν ἂν πώποτε ὤφλον· οὐδ' ἡμάρτηταί ἐστε ἡμῖν εἰς ὑμᾶς, ἔστε ὑμῖν εἰς ἡμᾶς· οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῶν δεομένων. οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν κατα-
15. στὰς εἰς ἀγῶνα ἀπήτησεν ὑμᾶς χάριν τούτων τῶν ἔργων. μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ [95] τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε· ἀλλ' ἀναμνησθέντες τῶν ἔργων, νομίσατε, τὰ σώματα αὐτῶν
18. ὁρᾶν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῶσαι. τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν· τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν· ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελ-
21. φῶν καὶ ἀντὶ παίδων γένεσθε. εἰς ὑμᾶς καταφεύγω, καὶ ἀντιβολῶ, καὶ ἱκετεύω· ὑμεῖς με παρ'

93. τότ' αὖ ὄνειδος] pro media voce malim ἦν.

94. ὑπέδειξαν] cogitari velim de dictione ὑποδεικνύειν τρόπαια, et exempla eius quaeri. alias ἀποδ. aut ἐπιδεικνύειν vsurpatur.

95. περὶ] malim ὑμᾶς.

παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σώσατε· καὶ μὴ βούλεσθε Θετταλὸς καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει [96] ἀνδράσιν ἀγαθοῖς εἶναι, καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε [96 b.] μὴ δῆτα. ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς, ὑφ' ὑμῶν τιμᾶσθαι. ὥστ' ἐμοὶ μὲν πειθόμενοι, οὐκ ἀποστερεῖσθε [97], εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, ἀδ', ἂν ὑστέρῳ χρόνῳ μεταμελήσῃ, ἀδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε, μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ δ' ἔγωγε τούτους, οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν, ἃ γινώσκουσι περὶ ἐμοῦ. δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ Φυλέως οἱ εἰρημένοι [398] μοι συνδικεῖν, Θρασύλλος, καὶ οἱ ἄλλοι. 24. 27. 30.

96. οἷς προσήκει] legitur hic locus iisdem verbis pag. 17. 40.

96 b. ἀπόλλυτε] possit quoque ἀπολλύναι legi, quod aptum sit e βούλεσθε.

97. ἐκ ἀποστερεῖσθε —] nolite ipsi vosmet eo privare bono, si quod ego vobis impertire potero.

398. εἰρημένοι] imo vero ἠρημένοι, delecti.

ΑΝΔΟ-

ΑΝΔΟΚΙΔΟΥ
ΛΟΓΟΣ
ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ.

Εἰ μέν, ὦ ἄνδρες, ἐν ἑτέρῳ τῳ πράγματι οἱ παριόντες [1] μὴ τὴν αὐτὴν γνώμην ἔχοντες πάν-
39. τες ἐφαίνοντο, ἀδὲν ἂν θαυμασὸν ἐνόμιζον· ὅπου μέντοι δεῖ τὴν πόλιν ἐμέ τι ποιῆσαι ἀγαθὸν, εἴτις ἕτερος βέλοιτο [2] ἐμοῦ κακίων, δεινότατον ἁπάντων χρημάτων ἡγοῦμαι, εἰ τῷ μὲν δοκεῖ ταῦτα [3], τῷ δὲ μὴ,
42. ἀλλὰ μὴ πᾶσιν. [4] ὁμοίως. εἴπερ γὰρ ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστι καὶ τὰ γινόμενα δήπου ἀγαθὰ τῆ πόλει κοινά ἐστι. τί τοίνυν τὸ μέγα καὶ δεινὸν πάρεστιν ἡμῖν ὁρᾶν, τῶς μὲν ἥδη πράττοντας, τὰς δὲ τάχα μέλλοντας. καί μοι μέγιστον θαῦμα περιέστηκε [5], τί
20. ι. ποτε ἔτοι οἱ ἄνδρες δεινῶς ἔτω περικαίονται, εἴ τι ὑμᾶς χρὴ ἀγαθὸν ἐμοῦ ἐπαύρεσθαι δεῖ γὰρ αὐτὸς ἤτοι ἁμαθεστάτος εἶναι πάντων ἀνθρώπων, ἢ τῇ πόλει ταύτῃ δυσμενεστάτος. εἰ μέν γε [6] νομίζουσι

1. οἱ παριόντες] prodeuntes ad dicendum et suadendum de republica.

2. βέλοιτο] malim εἴτα τις ἕτερος μὴ βέλοιτο, ἐμοῦ κακίων ὤν.

3. ταῦτα] scil. ἅπερ ἐμοὶ δοκεῖ.

4. ἀλλὰ μὴ πᾶσιν] videtur leg. ἀλλὰ μὴ ταὐτὰ πᾶσιν.

5. περιέστηκε] malim παρέστηκε.

6. γε] hic loci est pro γὰρ. vt saepe. v. p. 22, 12.

τῆς πόλεως εὖ πραττούσης, καὶ τὰ ἴδια σφῶν αὐ- 3.
τῶν ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοι εἰσὶ, τὰ
ἐναντία νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· εἰ δὲ
μὴ ταυτὰ ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ
τῷ ὑμετέρῳ κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν· οἵ-
τινες, εἰσαγγείλαντός μου ἀπόῤῥητα εἰς τὴν βουλὴν 6.
περὶ τῶν πραγμάτων, ὧν ἀποτελεσθέντων ἂν εἰσὶ
τῇ πόλει ταύτῃ μείζονες ὠφέλειαι, καὶ τούτων ἀπο-
δεικνύντος μου τοῖς βουλευταῖς σαφεῖς τε καὶ βεβαί-
ους τὰς ἀποδείξεις, ἐκεῖ μὲν οὔτε τούτων τῶν ἀνδρῶν 9.
οἱ παραγενόμενοι ἐλέγξοντες, οἵοί τ' ἦσαν ἀποδεῖ-
ξαι, εἴ τι μὴ ὀρθῶς ἐλέγετο, οὔτ' ἄλλος οὐδείς· ἐνθάδε
δὲ νῦν πειρῶνται διαβάλλειν. σημεῖον δὲ τοῦτο, ὅτι
ἤτοι ἂν ἀφ' αὑτῶν ταῦτα πράττουσιν (εὐθὺς γὰρ
ἂν τότε ἠναντιοῦντο) ἀλλ' ἀπ' ἀνδρῶν ἑτέρων οἷοί εἰ- 12.
σιν ἐν τῇ πόλει ταύτῃ, οὐδενὸς ἂν χρήματος δεξά-
μενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι[7]. καὶ αὐτοὶ
μὲν ἤτοι οἱ ἄνδρες οὐ τολμῶσι σφᾶς αὐτοὺς εἰς τὸ μέ-
σον κατασήσαντες διισχυρίζεσθαι περὶ τούτων, φο-
βούμενοι ἔλεγχον διδόναι, εἴ τι εἰς ὑμᾶς μὴ εὖ φρονοῦν- 15.
τες[8]· ἑτέρους δὲ εἰσπέμπουσι τοιούτους ἀνθρώπους,
οἷς εἰθισμένοις ἤδη ἀναισχυντεῖν, οὐδὲν διαφέρει εἰ-

πεῖν

7. πρᾶξαι] mirifica dictio ὑμᾶς ἀγαθόν τι ἐξ ἐμοῦ πρᾶξαι. num ἐπαύρασθαι? vt versu primo, aut εὑρέσθαι? qui quamuis ingenti pecunia se adduci haud patiantur, vt sinant ad rempublicam fructum aliquem mei peruenire.

8. φρονοῦντες] aut φρονοῦσιν est leg. aut μὴ εὖ φρονοῦντες φωραθεῖεν.

πεῖν τε καὶ ἀκέσαι τὰ μέγιστα τῶν κακῶν. τὸ δ' ἰσχυρὸν τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὰς
18. ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν καὶ ταῦτα ἐν εἰδόσι δήπου κάλλιον ἡμῖν, ὥστε μηδὲν [10] ἂν τούτων δικαίως τιμὴν αὐτοῖς τινα φέρειν. ἐμοὶ δέ, ὦ ἄνδρες, καὶ τῷ πρώτῳ τούτῳ [11] εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆ-
21. σθαι, ὅτι πάντες ἄνθρωποι γίνονται ἐπὶ τὸ [12] εὖ πράττειν κακοί, μεγάλη δὲ δήπου καὶ τὸ ἐξαμαρτεῖν δυσπραξία ἐστί. καὶ εἰσὶν εὐτυχέστατοι μέν, οἱ ἐλάχιστα ἐξαμαρτάνοντες· σωφρονέστατοι δέ, οἱ ἂν τάχιστα μεταγινώσκωσι. καὶ ταῦτα οὐ διακέκριται,
24. τοῖς μὲν γίνεσθαι, τοῖς δὲ μή· ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι, καὶ κακῶς πρᾶξαι. ὧν ἕνεκα, ὦ Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμὲ γινώσκοιτε ἄν, εἴητε [13] ἄνδρες εὐδαιμονέστε-

9. τὰς] malim τὸ τὰς.

10. μηδὲν] malim μηδέν (id est μηδένα cum apostropho). vt nemo ipsis horum gratiam vllam habeat.

11. τούτῳ] imo vero τοῦτο.

12. ἐπὶ τὸ] Stephanus in margine quaerit, num potius ἐπὶ τῷ leg. fit. ego vero vulgatam praefero. ad prosperam fortunam homines a natura factos esse κακὲς h. e. segnes, torpidos, ignauos, inertes, rudes et ineptos, plane ἀφυεῖς. concludit sic: omnes homines ad fortunam aduersam a natura facti sunt accommodatiores, quam ad secundam. Sed pars aduersae fortunae est, errare, labi. Ergo humanum hoc est. oportet itaque vos errori meo ignoscere.

13. γινώσκοιτε ἄν, εἴητε] post γινώσκοιτε ponen-

ροι. οὐ γὰρ φθόνῳ μᾶλλον ἢ οἴκτῳ ἄξιά μοι ἐστὶ τὰ γεγενημένα· ὃς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσ- 27.
δαιμονίας, εἴτε χρὴ εἰπεῖν, νεότητί τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με ἐλθεῖν εἰς τοιαύτην συμφορὰν τῶν φρενῶν, ὥστ' ἀνάγκη [14] μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μείζοιν θάτερον ἑλέσθαι· ἢ μὴ βεληθέντι κατεπεῖν τὸς ταῦτα ποιήσαντας, 30.
ἃ περὶ ἐμοῦ μόνον ὀρρωδεῖν, εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα ἀδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι, (ὅπερ ἀνάγκη παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆσαι) ἢ κατειπόντι τὰ γεγενημένα, 33.
αὐτὸ μὲν ἀφέντα [15] μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι [16]. τί δ' ἂν ἐγὼ πρό γε τούτου [17] τολμήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ χρόνον πλείστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην 36.
τοῦ παρόντος τότε κακοῦ μετάσχοιν. ἀναμνήσθητε δὲ, ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε. καὶ

ὅτι

dum est comma, et tum deest aut ὅτως aut μᾶλλον. nam ἂν cohaeret, non cum γιγνώσκοιτε, sed cum εἴητε.

14. ἀνάγκη] imo vero ἀνάγκην.

15. αὐτὸ μὲν ἀφέντα] Lego αὐτὸν μὲν (subaudi ἐμὲ) ἀφεθέντα μὴ τ.

16. post γενέσθαι deesse videtur τοὺς δὲ φίλους ἀπολέσαι. me quidem absolutum discedere, salua vita, et a necessitate liberatum homicidii in patre committendi, verumtamen amicos perdumdare.

17. πρό γε τούτου] prius, quam vt hoc faciat, vt sc. indicio suo amicos perdumdet.

ὅτι ἔτω σφόδρα σφᾶς αὐτὸς ἐπεφόβησεν [18], ὥστ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξήειτε, ἕκαστος ὑμῶν οἰά-
39. μενος συλληφθήσεσθαι. ταῦτα τοίνυν ὥστε μὲν γενέσθαι τοιαῦτα, πολλοῦ δή τι ἐγὼ μέρος τῆς αἰτίας εὑρέθην ἔχων· ὥστε μέντοι παυθῆναι [19], ἐγὼ εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τόγε δυστυχέστατος εἶναι ἀνθρώπων ἐδαμῇ ἐκφεύγω· ὅτε δὴ παραγε-
42. νομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμφοράς, ἐδεῖς ἐμοῦ ἤρχετο [20] γίνεσθαι δυσδαιμονέστερος· μεθισαμένης δὲ πάλιν εἰς τὸ ἀσφαλές, ἀπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει, ἀδύνατον ἦν, ταῦτα ἰαθῆναι ἄλλως, ἢ τῷ ἐμῷ αἰ-
21.1. σχρῷ· ὥστ' ἐν αὐτῷ, ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σώζεσθαι. χάριν οὖν εἰκός με, ὦ μῖσος, τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν· καί-

18. ἐπεφόβησεν] imo vero ἐπεφόβησθε sec. plur. plusquamperf. passiui, *ita timebatis vosmet ipsos mutuo*, ita formidine mutua inter vos trepidabatis.

19. πᾶν ἰαθῆναι] sic dedit Stephanus cum hac annotatione in margine πρ. γρ. [id est Aldus dederat] παυθῆναι. ἔστι δὲ καὶ ὀλίγῳ ὕστερον, ταῦτα ἰαθῆναι ἄλλως. Non semper animus pari modo intentus et vigil et acer est. Saepe offunditur oculis mentis caligo quaedam; qua fit, vt coram posita haud cernamus. Quod hic Stephano euenit. Quam facile erat in παυθῆναι reperire παυθῆναι! quod reposui.

20. ἤρχετο γίνεσθαι] vitiosa haec si non sunt, mihi quidem sunt obscura. Num ἐδεῖς ἐμοῦ ἐκρίνετο γενέσθαι δυσδαιμονέστερος. aut pro ἤρχετο leg: est ἤδετο *canebatur*.

τοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφορὰς, ὧν 3.
τινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο,
τὰ μὲν, παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ', ἀνάγκῃ τῶν
παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν
τε τοιαῦτα [21], καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα
μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ ὕ-
στερον εἰσῆλθέ μοι, ὥσπερ εἰκὸς, ἐπιθυμία τῆς [22] 6.
τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης [23], ἐξ
ἧς δεῦρὶ μετέσην, ἔγνων λυσιτελεῖν μοι, ἢ τὸ βίου
ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσ-
οῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναι ποτέ
μοι πολιτεύεσθαι μεθ' ὑμῶν. ἐκ δὲ τότε ἃ πώποτε 9.
ἔστε τοῦ σώματος, ἔστε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅ-
που ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσ-
ήγαγον εἰς στρατιὰν ὑμῶν, ἔσαν ἐν Σάμῳ, κωπέας,
τῶν τετρακοσίων [24] ἤδη τὰ πράγματα ἐνθάδε 12.
κατει-

21. τοιαῦτα] subaudi ex insequentibus οἷα ἔμελλεν ὑφ' ὑμῶν ἥκιστα ὀφθήσεσθαι.

22. ἐπιθυμία τῆς τε] aut transponendum hoc τε est ante articulum, aut pro τε leg. est τότε.

23. καὶ διαίτης] interponendum videtur κόρος. vt autem tempore post me subiit, id quod facile est iudicatu, et desiderium ciuilis meae quondam inter vos conversationis, et taedium commorationis atque vitae generis eius, e quo huc transii.

24. τῶν τριακοσίων] humani quid hic passus est Henricus Stephanus, item versu 24 et 29. vt bonam et probam lectionem Aldinae τετρακοσίων praeter rem, et aduersa veritate historica, nescio quo mentis oblato errore mutaret. Notarunt hunc lapsum Taylor quo-

κατειληφότων· ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ, καὶ διδόντος γενέσθαι[25] τε καὶ ἐξάγεσθαι[26] ὁπόσα ἐβουλόμην. τότε τε[27] εἰσήγαγον τὰς κωπέας. καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέ-
15. ξασθαι, οὐκ ἠθέλησα πράξασθαι πλέον, ἢ ὅσον[28] ἐμοὶ κατέστησαν. εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· καὶ οἱ ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες[29], καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν
18. τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν ἄξιοί ὑμᾶς εἰργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ ἂν ἐλάχιστον δικαίως ταύτης ἀξίας[30] ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς
21. μᾶλλον, ἢ περὶ τοῦ μὴ δι' αὐτοὺς[31] σωθῆναι. τού-

que et Markland ad Lyſiam, hic pag. 591. ille Lect. Lyſ. p. 693. Ego veram lectionem reuocaui.

25. γενέσθαι] ſcil. quaecunque vellem.

26. καὶ ἐξάγεσθαι] videtur καὶ εἰσάγεσθαι deeſſe.

27. poſt τούτους τε videtur οὖν deeſſe.

28. ὅσον] malim ὅσου.

29. ναυμαχοῦντες] ſignificatur illa victoria naualis, quam Thucydides octaui libri fine deſcribit, illa nempe apud Abydum, qua claſſis attica, a Tiſſapherne adiuta, claſſem Lacedaemoniorum, cui Mindarus praeerat, a Pharnabazo ſuſtentatam, vicit, multas hoſtium naues cepit, multas ſuas recuperauit. v. Simſon Chronicon ad A. M. 3594.

30. ταύτης ἀξίας] interpono τῆς.

31. μὴ δι' αὐτὰς] lege μηδ' αὐτὰς. *ne ipſos quidem.*

των τοίνυν ὄντως ἐχόντων, ἐκ ὀλίγῳ μοι παρὰ γνώμην εὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε, προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα 24.
τῶν τετρακοσίων, ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. εὐθὺς δὲ παρασάς μοι Πείσανδρος· Ἄνδρες, ἔφη, βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδείκνυμι ὑμῖν σῖτόν τε εἰς τοὺς πολε- 27.
μίους εἰσαγαγόντα καὶ κωπέας. καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. ἐν δὲ τῷ τότε οἱ τὰ ἐναντία [32] φρονοῦντες δῆλοι ἦσαν ἤδη οἱ ἐπὶ στρατείας ὄντες τοῖς τετρακοσίοις. κἀγώ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίνετο τῶν βουλευτῶν, καὶ [33] ἐπειδὴ 30.
ἐγίγνωσκον ἀπολλύμενος, εὐθὺς προσπηδῶ πρὸς τὴν ἑστίαν, καὶ λαμβάνομαι τῶν ἱερῶν. ὅπερ μοι καὶ πλείστ' ἄξιον ἐγίνετο ἐν τῷ τότε. εἰς γὰρ τοὺς θεοὺς [34] εἶχον τὰ ὀνείδη ἅττοι, οἵ με μᾶλλον τῶν ἀνθρώπων ἐοίκα-

32. οἱ τὰ ἐναντία] videtur articulus prior, οἱ, h. l. delendus esse. iam constabat, Athenienſium eos, qui in castris apud Samum essent, diuersa a CCCC viris sentire.

33. καὶ videtur delendum, aut aliquid deesse.

34. εἰς γὰρ —] Locus affectus. Num εἰς γὰρ τοὺς θεοὺς ἦκεν (aut ἦλθεν) ἂν αὐτοῖς τὰ ὀνείδη. Nam si me abstractum ab ara occidissent, infamiam impietatis erga deos ipsi sibi contraxissent. οὗτοί με — hi (dii puta) me —

33. ἐοίκασι κατελεῆσαι· βεληθέντων τε[35] αὐτῶν ἀποκτεῖναί με, οὗτοι ἦσαν οἱ διασώσαντες. δεσμά τε ὕστερον καὶ κακά, ὅσα τε καὶ οἷα τῷ σώματι ἠνεσχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. ἃ δὴ καὶ μάλις' ἐμαυτὸν ἀπωλοφυράμην· ὅστις τοῦτο μὲν, ἐν
36. ᾧ ἐδόκει ὁ δῆμος κακῆσθαι[36], ἐγὼ ἀντὶ τότε κακὰ εἶχον· τοῦτο δὲ, ἐπειδὴ ἐφαίνετο εὖ ὑπ' ἐμὲ πεπονθὼς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπολοίμην[37]. ὥστε ὁδόν τε καὶ πόρον μηδαμῆ ἔτι εἶναί μοι εὑθαρσεῖν[38]. ὅπου γὰρ τραποίμην, πάντοθεν κακόν τι
39. μοὶ ἐφαίνετο ἑτοιμαζόμενον. ἀλλ' ὅμως καὶ ἐκ τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς, οὐκέτι ἕτερον περὶ πλείονος ἐποιούμην, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι. Ὁρᾷν[39] δὲ, ὦ Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα[40] τῶν ὑπουργημάτων διαφέρει[41]. τοῦτο μὲν

35. τε] malim γε. pro γὰρ *nam*, cum illi CCCC viri me vellent occidere —

36. κακῆσθαι] ſummum enim in diſcrimen atque incredibilem perturbationem coniecerat rempublicam ſcelus hermarum mutilatorum.

37. ἀπολοίμην in optatiuo. quia in diſcrimen exitii adducebatur, in quo paene periſſet.

38. εὐθαρσεῖν] in Aldina eſt ἐνθαρσεῖν. quae lectio poſſit etiam probari.

39. ὁρᾷν] πότερον ὁρᾶτε STEPHANVS in margine. Ego malim ὁρᾷν ſeruare, ſed ſic, vt poſt ὁρᾷν δὲ addatur aut πάρεσιν, aut ἄξιον.

40. τὰ τοιαῦτα] talia officia atque miniſteria, qualia ego vobis praeſtiti.

41. διαφέρει] praeſtent aliis miniſteriis, quae vul-

μὲν, ὅσοι τῶν πολιτῶν τὰ ὑμέτερα πράγματα διαχειρίζοντες, ἀργύριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι, ἢ τὰ ὑμέτερα, ὑμῖν διδόασι; τοῦτο δὲ, ὅσοι στρατηγοὶ γενόμενοι καλόν τι τὴν πόλιν κατειργάζονται, τί ἄλλο ἢ μετὰ τῶν ὑμετέρων σωμάτων ταλαιπωρίας τε καὶ κινδύνων, καὶ ἔτι τῶν κοινῶν χρημάτων, δαπανᾶν [42] ποιοῦσιν ὑμᾶς, εἴ τι τυγχάνουσιν, ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι ἐξαμάρτωσιν, οὐκ αὐτοὶ τῆς σφετέρας ἁμαρτίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων· ἀλλ' ὅμως ἔτοι σεφανοῦνταί γε ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται, ὡς ὄντες ἄνδρες ἀγαθοί. καὶ ἐκ ἐρῶ, ὡς οὐ δικαίως. μεγάλη γάρ ἐστιν ἀρετὴ, ὅστις τὴν ἑαυτοῦ πόλιν, ὁτῳοῦν δύναται τρόπῳ, ἀγαθόν τι ἐργάζεται [43]. ἀλλ' οὖν τι γινώσκειν [44] γε χρὴ, ὅτι ἐκεῖνος ἂν εἴη πλείστου ἄξιος ἀνὴρ, ὅστις τοῖς ἑαυτῷ παρακινδυνεύων χρήμασί τε καὶ σώματι, τολμῴη ἀγαθόν τι ποιεῖν τὸς ἑαυτῷ πολίτας. ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα σχεδόν τι ἅπαντες ἂν εἰδείητε· τὰ δὲ μέλλοντά τε καὶ ἤδη πραττόμενα, ἄνδρες ὑμῶν πεντακόσιοι ἐν ἀποῤῥήτῳ ἴσασιν, ἡ βουλή· ἐς πολλῷ δήπου εἰκὸς

42. 43. 44.

go vobis, non gratuita, ſed pro mercede a vobis danda, vobis praeſtantur.

42. δαπανᾶν] lego δαπανῶντες. aut alias leg. καὶ ἔτι τῷ τῶν κοινῶν χ. δαπανᾶν, π.

43. ἐργάζεται] a Stephano eſt. Aldina dat ἐργάζεσθαι. quod ego equidem non mutaſſem.

44. τι γινώσκειν] expungo τι, vt natum ex initio proximi vocabuli γιν.

εἰκὸς ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι, ἀκέ-
12. σαντάς τι ἐν τῷ [45] παραχρῆμα νῦν [46] διαβουλεύ-
σασθαι. οἱ μέν γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων
σκοπεῖνται· ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρ-
τάνωσιν, αἰτίαν ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν
ἄλλων πολιτῶν. ὑμῖν δὲ ἐκ εἰσὶν ἕτεροι, ὑφ' ὧν αἰτίαν
15. ἔχοιτε. τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ,
καὶ εὖ καὶ κακῶς, ἐὰν βέλησθε, διαθέσθαι. ἄγε
μέντοι ἔξω τῶν ἀπορρήτων οἷόν γέ [47] μοι ἐστὶν εἰπεῖν
εἰς ὑμᾶς, ἤδη πεπραγμένα ἀκέσεσθε. ἐπίσασθε
γάρ πε, ὡς ἠγγέλθη ἡμῖν, ὅτι ἐ μέλλει ἐκ Κύπρου
18. σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ [48] τοίνυν τοιοῦτός τε καὶ
τοσοῦτος ἐγενόμην, ὥστε τὸς ἄνδρας τὸς ταῦτα βε-
λεύσαντας ἐφ' ὑμῖν καὶ πράξαντας, ψευσθῆναι τῆς
αὐτῶν

45. ἀκούσαντάς τι ἐν τῷ π.] pronomen τι abeſſe malim.

46. παραχρῆμα νῦν] tolle comma. nam iſta duo vocabula arcte cohaerent *iam nunc ſtatim.*

47. οἷόν γε] πότερον οἷόν τε STEPHANVS in margine.

48. ἥξειν ἐνταῦθα. ἐγὼ] diſtinguendum et legendum videtur ſic. ἥξειν, ἐνταῦθα ἐγώ τι; *aduenturum eſſe.* (ſcil. huc Athenas; quod ſubauditur.) *Hic,* (in eiusmodi tempore) *quid ego?* ſcil. coepi, inſtitui, egi? τοιοῦτος — Verum offendor illa dictione τοσοῦτος ἐγενόμην, quam non ſatis intelligo. Num ſignificat *tantam operam dedi*, vt τοιοῦτος ἐγενόμην ſignificat, *eam operam dedi?* Mihi videtur ἐγένετο leg. eſſe. ſcil. σῖτος, tanta veniebat copia frumenti, eiusque tam boni.

αὐτῶν γνώμης. καὶ ὡς μὲν ταῦτα διεπράχθη, οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τὰ δὲ νυνὶ [49], βέλομαι ὑμᾶς εἰδέναι· ὅτι αἱ μέλλουσαι νῆες ἤδη σιταγωγοὶ 21.
καταπλεῖν εἰς τὸν Πειραιᾶ, εἰσὶν ὑμῖν τέτταρες καὶ δέκα· αἱ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου ἀναχθεισῶν, ἥξουσιν ἀθρόαι οὐ πολὺ ὕστερον. ἐδεξάμην δ' ἀντὶ [50] πάντων χρημάτων, εἶναι ἐν ἀσφαλεῖ, φράσαι πρὸς ὑμᾶς, ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ εἰσήγγειλα, ὅπως αὐτόθεν προειδῆτε. νῦν δὲ ἐκεῖνα μὲν τότε, ὅταν ἀποτελεσθῇ, γνώσεσθε ἅμα καὶ ὠφεληθήσεσθε· νῦν δὲ, ὦ Ἀθηναῖοι, εἴ μοι βουληθείητε δοῦναι χάριν μικράν τε καὶ ἄπονον ὑμῖν, καὶ ἅμα δικαίαν, πάνυ ἂν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. ὡς 27.
δὲ καὶ δικαία ἐστὶν, εἴσεσθε. ἃ γάρ μοι αὐτοὶ γιόντες τε καὶ ὑποσχόμενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ' ὑμᾶς, εἰ μὲν βούλεσθε, αὐτῶ· εἰ δὲ μὴ βέλεσθε [51], ἀπαιτῶ. ὁρῶ δὲ [52] ὑ- 30.
μᾶς πολλάκις καὶ δήλοις ἀνθρώποις καὶ ξένοις παντοδαποῖς [53] πολιτείας διδόντας τε καὶ [54] εἰς χρή-
ματα

49. τὰ δὲ νυνὶ] quod autem ad ea attinet, quae nunc fiunt.

50. ἀντὶ] malim ἂν.

51. εἰ δὲ μὴ βέλεσθε] possit hoc μὴ etiam abesse. *peto, aut si mauultis, postulo.*

52. ὁρῶ δὲ] hoc δὲ hic loci, vt alias saepe, accipi debet pro γάρ.

53. παντοδαπῆς] πότερον παντοδαποῖς. STEPHANVS in margine. et sic dedi.

54. πολιτείας διδόντας τε καὶ] malim πολιτείαν τε διδόντας, καὶ.

ματα μεγάλας δωρεὰς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. καὶ ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε. ἕτω γὰρ ἂν ὑπὸ πλείσων ἀνθρώ-
33. πων εὖ πάσχοιτε. ἐγὼ τοίνυν τοσοῦτον ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα, ὃ Μενίππου εἰπόντος ἐψηφίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. ἀναγνώσεται δὲ ὑμῖν αὐτό. ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βουλευτηρίῳ. ΨΗΦΙΣΜΑ. Τουτὶ
36. τὸ ψήφισμα, ὃ ἠκούσατε, ψηφισάμενοί μοι, ὦ Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε, χάριν ἑτέρῳ φέροντες. πείθεσθέ μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι[55] ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέσηκεν. εἰ γὰρ ὅσα οἱ ἄνθρωποι γνώμῃ ἁμαρτάνουσι, τὸ σῶ-
39. μα αὐτῶν μὴ αἴτιόν ἐστιν, ἐμοῦ[56] τὸ μὲν σῶμα τυγχάνει τοῦτ' ἀναίτιον, ὅπερ τῆς αἰτίας ἀπήλλακται[57], ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα νυνὶ παρέσηκεν. ἐδὲν ἔν ἔτι ὑπολείπεται, ὅτῳ ἄν μοι δικαίως

55. διαβαλόντι] πότερον διάβολόν τι, ἢ, διαβολή τις STEPHANVS in margine. praetuli prius.

56. ὁμοῦ] imo vero ἐμοῦ.

57. τυγχάνει τοῦτ' ἀναίτιον, ὅπερ τῆς αἰτίας ἀπήλλακται] obscura haec et tautologiae similia non satis intelligo. Et si vel possit etiam intelligi, mera tamen est cauillatio. Ecqui enim corpus per se vnquam peccare potest sine mente? et quae mens puniri sine corpore? Semper hoc est glaucoma sophisticum. Sed videtur scripsisse ἐμοῦ τὸ μὲν σῶμα τυγχάνει ταὐτὸν ὄν, ὅπερ τ. αἰτ. ἀπ. *corpus quidem meum idem est, quod ante fuit (atqui corpus hoc culpa vacat) mens autem, quae culpam admisit, alia nunc est.*

δικαίως διαβεβλῆσθε. ὥσπερ δὲ τῆς τότε ἁμαρτίας
τὰ ἀπὸ τῶν ἔργων σημεῖα [58] ἔφατε χρῆναι πισό- 42.
τατα ποιέμενοι, κακόν με ἄνδρα ἡγεῖσθαι, ἕτω
καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ, μὴ ζητεῖτε ἑτέραν βάσανον,
ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν γινόμενα. πο-
λὺ δέ μοι προσήκει ταῦτα μᾶλλον ἐκείνων, καὶ τῷ 23. 1.
γένει συνηθέστερά ἐστι. τάδε γὰρ οὐ ψευσαμένῳ μοι
λαθεῖν οἷόντ' ἐστὶ τὰς γε πρεσβυτέρας ὑμῶν· ὅτι ὁ
τοῦ ἐμοῦ πατρὸς πρόπαππος Λεωγόρας, σασιάσας
πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ δήμου, ἐξὸν αὐτῷ δι- 3.
αλλαχθέντα τῆς ἔχθρας, καὶ γενομένῳ κηδεστῇ,
ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν τῆς πόλεως, εἵλετο
μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου, καὶ φεύγων κακο-
παθεῖν μᾶλλον, ἢ προδότης αὐτῶν καταστῆναι. ὥστ'
ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως ὑπ- 6.
άρχει δημοτικῷ εἶναι, εἴπερ τι [59] ἄλλο τῶν γε Φρο-
νῶν τυγχάνω. ὧν καὶ ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρη-
στὸς ὢν ἀνὴρ εἰς ὑμᾶς φαίνωμαι, προθυμότερόν μου
ἀποδέχεσθαι τὰ πραττόμενα. τὸ δὲ, δόντας ἐμοὶ
τὴν ἄδειαν, ἀφελέσθαι ὑμᾶς, εὖ ἴσε, ὅτι ἀδεπό- 9.

ποτε

58. σημεῖα —] verba traiectione conturbata sic videntur in ordinem redigenda τὰ ἀπὸ τῶν ἔργων σημεῖα πισότατα ποιέμενοι, ἔφατε χρῆναι κακόν με ἄνδρα ἡγεῖσθαι.

59. εἶναι εἴπερ τι] Stephanus post εἶναι interponendum existimabat ὅ. mihi videtur auctoris sententia haec ferme postulare — εἶναι, καὶ ὅτι, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε Φρονῶν τυγχάνω· et quod, antea si non sapui, nunc certe sapio.

ποτε ἠγανάκτησα. ὅπου γὰρ ὑπὸ τῶν ἀνδρῶν τούτων αὐτοὶ εἰς ὑμᾶς αὐτὸς ἐπείσθητε [60] τὰ μέγιστα ἐξαμαρτεῖν, ὥστε ἀντὶ τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι, ἐκ δημοκρατίας δυναστείαν καταστήσαντες,
12. τί ἂν τις ὑμῶν θαυμάζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξαμαρτεῖν; βουλοίμην μέντ' ἄν, ὥσπερ ἐν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε, τὰς τῶν ἐξαπατησάντων ὑμᾶς ἀκύρους ἔθετε
15. βελὰς, οὕτω καὶ ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνεπιτήδειον, ἀτελῆ τὴν γνώμην αὐτῶν ποιῆσαι· καὶ μήτε ἐν τούτῳ, μήτε ἑτέρῳ τῷ τοῖς ὑμῶν αὐτῶν ἐχθίστοις ὁμόψηφοί ποτε γένησθε.

ΑΝΔΟΚΙΔΟΥ

ΛΟΓΟΣ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ, πολλὰ δὲ Λακεδαιμονίων ὑπομεινάντων, καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους, αὐτοκρά-

60. ἐπείσθητε] sic correxit Stephanus Aldinae ἐπέσθητε.

τοκράτορας· ὧν ἐστι καὶ Ἀνδοκίδης. τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίας πρέσβεις, ἔδοξεν, ὥστε εἶσω τεσσαράκοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκίδης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν ἂν συμβουλῆς, τὸ εἶδος· κεφάλαιον δὲ, τὸ συμφέρον. Φιλόχορος μὲν ἄν λέγει καὶ ἐλθεῖν τὰς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους ἐπανελθεῖν, μὴ πείσαντος τοῦ Ἀνδοκίδου. ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν, ἢ πολεμεῖν, δοκεῖτέ μοι, ὦ Ἀθηναῖοι, γινώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις, ἀφ' ὧν ἡ εἰρήνη γέγοιτο, ἐναντιοῦνται, τοῦτο οὐ πάντες αἰσθάνεσθε. λέγεσι γὰρ, ὡς ἔστι δεινότατον [1] τῷ δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν ἔσα πολιτεία μὴ καταλυθῇ. εἰ μὲν ἂν μηδεπώποτε ὁ δῆμος ὁ τῶν Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβέμεθα αὐτὸ, διά τε τὴν ἀπειρίαν τοῦ ἔργου, καὶ διὰ τὴν ἐκείνων ἀπιστίαν [2]· ὅπου δὲ πολλάκις ἤδη πρότερον

1. δεινότατον] id est h. l. μεσὸν πλείστου δέους, admodum metuendum.

2. τὴν ἐκείνων ἀπιστίαν] propterea quod iis fidi nullo modo potest.

ρον εἰρήνην ἐποιήσατε [3] δημοκρατόμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γε-
39. νόμενα; χρὴ γὰρ, ὦ Ἀθηναῖοι, τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. ἡνίκα τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐβοίᾳ, Μέγαρα δὲ εἴχομεν [4], καὶ Πηγὰς, καὶ Τροι-
ζῆνα, εἰρήνης ἐπεθυμήσαμεν· καὶ Μιλτιάδην τὸν
42. Κίμωνος ὠστρακισμένον, καὶ ὄντα ἐν Χερρονήσῳ, κατεδεξάμεθα δι' αὐτὸ τοῦτο, πρόξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαιμεν εἰς Λακεδαίμονα, προκηρυκευσόμενον περὶ σπονδῶν. καὶ τότε ἡμῖν εἰρήνη
24.1. ἐγένετο πρὸς Λακεδαιμονίους, ἔτη πέντε [5], καὶ ἐνεμείναμεν ἀμφότεροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἐν δὴ τοῦτο, ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν ταύτῃ τῇ εἰρήνῃ ὁ δῆμος ὁ τῶν Ἀθηναίων
3. ἔσθ' ὅπως κατελύθη; ἐδεὶς ἀποδείξει. ἀγαθὰ δὲ ὅσα ἐγένετο διὰ ταύτην τὴν εἰρήνην, ἐγὼ ὑμῖν φράσω. πρῶτον μὲν, τὸν Πειραιᾶ ἐτειχίσαμεν ἐν τούτῳ τῷ χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ τῶν τριηρῶν, αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ
6. καὶ ἄπλοι, αἷς Βασιλέα καὶ Βαρβάρους καταναυμαχήσαντες ἠλευθερώσαμεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν νεῶν, ἑκατὸν τριήρεις ἐναυπηγησάμε-

3. ἐποιήσατε] imo vero ἐποιήσασθε in medio. quod modo praecessit.

4. εἴχομεν] sic Stephanus dedit pro Aldino ἔχομεν.

5. πέντε] imo vero εἰς ἔτη πεντήκοντα, vt recte Taylor ex Aeschine in Lection. Lysiacis p. 4. emendat.

θα· καὶ πρῶτον τότε τριακοσίους ἱππεῖς κατεσκάμεθα, καὶ τοξότας τριακοσίους Σκύθας ἐπριάμεθα. καὶ ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαι- 9.
μονίους ἀγαθὰ τῇ πόλει, καὶ δύναμις [6] τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέσημεν· καὶ πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες [7], ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης· καὶ ἡρέθησαν [8] δέκα ἄνδρες ἐξ Ἀ- 12.
θηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. ἔτοι ἡμῖν εἰρήνην ἐποιήσαντο πρὸς Λακεδαιμονίους ἔτη [9] τριάκοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπῳ, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί 15.
δαί [10]; πράττοντές τινες δήμῳ κατάλυσιν ἐλήφθησαν; ἐκ ἔστιν ὅστις ἀποδείξει, ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον. αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τῶν Ἀθηναίων ὑψηλὸν ἦρε, καὶ κατέσησεν ἰσχυρὸν ἔτως, 18.
ὥστε πρῶτον μὲν, ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες [11] ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρόπο-

6. καὶ δύναμις] malim καὶ αὕτη ἡ δύναμις. et sic quoque paulo post versu 23.

7. πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες] alius quis dicendi paulo diligentior, dicturus erat πολλὰ μὲν κακὰ παθόντες, πολλὰ δὲ καὶ ποιήσαντες.

8. εὑρέθησαν] suffeci in huius vetustae lectionis locum, coniecturam Henrici Stephani ἡρέθησαν.

9. ἔτη] malim εἰς ἔτη. finis vocabuli praecedentis Λακεδαιμονίους potuit praepositionem εἰς absorbere.

10. τί δαί] malim hic loci quidem τί δέ.

11. εἰρήνην λαβόντες] vocabulum prius mihi suspe-

κρόπολιν, καὶ νόμῳ κατεκλείσαμεν ἐξαίρετα εἶναι τῷ δήμῳ. τοῦτο δὲ, τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους [12] ἐψηφισάμε-
21. θα εἶναι. νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατεστήσαμεν· καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτειχίσθη. ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει, καὶ δύναμις τῷ
24. δήμῳ τῶν Ἀθηναίων ἐγένετο. πάλιν δὲ διὰ Μεγαρέας πολεμήσαντες, καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες, αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. οἶμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦ-
27. το, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τετρακοσίας ἐκτησάμεθα. καὶ φόρος προσήει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα. καὶ Χερρόνησόν τε εἴχομεν καὶ
30. Νάξον, καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη [13]· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς

ctum est. videtur in eo potius nomen vrbis aut regionis alicuius ab Atheniensibus captae et domitae latere, e. c. αἰγίνην. Sed conferenda historia, quod mihi nunc non vacat. Aut pro λαβόντες leg. est ἄγοντες.

12. ἐξαιρέτους] subaudi e praemissis τῷ δήμῳ. proprias reipublicae, vt non possent aliis vsibus, quam eius, impendi.

13. τὰ δύο μέρη] subaudi ἀπὸ τῶν τριῶν. de tribus partibus duas.

ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ, πάλιν κατέσημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων. πρῶτον μὲν ἦν, ὦ 33.
Ἀθηναῖοι, τότε ἀναμνήσθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. ἄλλο ὅ, τι ἢ τοῦτο [14]; ὅτι διὰ τὴν εἰρήνην ἀδεπώποτε ὁ δῆμος ὁ τῶν Ἀθηναίων κατελύθη. οὐκοῦν ἀποδέδεικται, καὶ ἀδεὶς ἐξελέγχει με, ὡς ἐκ ἔστι ταῦτα ἀληθῆ. ἤδη δέ τινων ἤκουσα λε- 36.
γόντων, ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέσησαν, πολλοί τε Ἀθηναίων κώνειον πιόντες ἀπέθανον· οἱ δὲ, φεύγοντες ᾤχοντο. ὁπόσοι ἦν ταῦτα λέγουσιν, ἐκ ὀρθῶς γινώσκουσιν. εἰρήνη γὰρ καὶ σπονδαὶ πολὺ δια- 39.
φέρουσι σφῶν αὐτῶν. εἰρήνην μὲν γὰρ ἐξίσου ποιῦνται πρὸς ἀλλήλους ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς δὲ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιῦνται. ὥσπερ ἡμῶν κρατήσαντες Λακεδαιμόνιοι 42.
τῷ πολέμῳ ἐπέταξαν ἡμῖν καὶ τείχη [15] καθαιρεῖν, καὶ τὰς ναῦς παραδιδόναι, καὶ τὺς φεύγοντας καταδέχεσθαι. τότε μὲν ἦν σπονδαὶ κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων ἐγένοντο· νῦν δὲ περὶ εἰρήνης βουλεύεσθε. σκέψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἅτε ἡμῖν ἐν 25. I.
τῇ στήλῃ [16] γέγραπται, ἐφ' οἷς τε νῦν ἔχεσι τὴν εἰρήνην ποιεῖ-

14. ἄλλο ὅ, τι ἢ τοῦτο] malim οὐκ ἄλλο τι ἢ τοῦτο. *non aliud* vel *nil aliud, quam hoc.*

15. καὶ τείχη] malim τὰ τείχη.

16. ἐν τῇ στήλῃ] eo in foedere, quod cum Lysandro inibatis.

ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται [17], τείχη καθαιρεῖν·
3. ἐν δὲ τοῖσδε, ἔξεστιν οἰκοδομεῖν ναῦς· ἐκεῖ μέν, δώδεκα κεκτῆσθαι· νῦν δ', ὁπόσας ἂν βουλώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκύρον τότε μὲν ἔχειν τοὺς ἔχοντας, νῦν δὲ, ἡμετέρας εἶναι· καὶ φεύγοντας
6. νῦν μὲν οὐκ ἐπάναγκες ἐδέξατο καταδέχεσθαι, τότε δ' ἐπάναγκες. ἐξ ὧν ὁ δῆμος κατελύθη· τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον οὖν ἔγωγε, ὦ Ἀθηναῖοι, διορίζομαι περὶ τούτων, τὴν μὲν εἰρήνην, σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύναμιν· τὸν δὲ πόλεμον δήπου,
9. καταλύσιν γίνεσθαι. περὶ μὲν οὖν τούτων ταῦτα λέγω. Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν· σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ πολεμήσομεν. οἶμαι γὰρ ἅπαντας ἀνθρώπους ὁμολογῆσαι [18] διὰ τάδε δεῖν πολεμεῖν· ἢ
12. ἀδικεμένους, ἢ βοηθοῦντας ἠδικημένοις. ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα, Βοιωτοῖς τε ἀδικεμένοις ἐβοηθοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο, τὸ μηκέτι ἀδικεῖσθαι παρὰ Λακεδαιμονίων, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην, * ἀφεῖσιν [19] Ὀρχομενὸν
15. αὐτόνομον, τίνος ἕνεκα πολεμήσομεν; ἵνα ἡ πόλις ἡμῖν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει.

17. ἐκεῖ μὲν γέγραπται τείχη καθαιρεῖν] malim ἐκεῖ μέν γε [quod idem atque γὰρ hic significabit] γέγραπται, τὰ τείχη καθ.

18. ὁμολογῆσαι διὰ ταῦτα] Fortassis ὁμολογήσειν διὰ τ. aut ὁμολογῆσαι ἂν διὰ τ. H. STEPHANVS.

19. ἀφεῖσιν] sic dedi de meo, in datiuo plurali participii aoristi secundi, pro vulgato ἀφείσειν.

ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; ἔςι καὶ ταῦτα ἐκ
τῆς εἰρήνης. ἀλλ' ἵνα τριήρεις ἐξῇ ναυπηγῆσαι [19] b.,
καὶ τὰς ὄσας ἐπισκευάζειν καὶ κεκτῆσθαι [20]; καὶ τοῦ-
τοὐπάρχει. τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι 18.
ποιοῦσιν. ἀλλ' ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον
καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαῤῥήδην γέγραπται,
ταύτας Ἀθηναίων εἶναι. Φέρε, ἀλλὰ Χερρόνησον καὶ
τὰς ἀποικίας καὶ τὰ * ἐγκτήματα [21] καὶ τὰ χρέα
ἵνα ἀπολάβωμεν; ἀλλ' οὔτε βασιλεὺς, οὔτε οἱ σύμ- 21.
μαχοι συγχωροῦσιν ἡμῖν, μεθ' ὧν αὐτὰ δεῖ πολε-
μοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακεδαι-
μονίους καταπολεμήσωμεν, καὶ τοὺς συμμάχους αὐ-
τῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ' οὔ μοι δο-
κεῖ [22] οὕτω παρεσκευάσθαι. ἐὰν δὲ ἄρα κατεργα- 24.
σώμεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ
τῶν βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν
περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρ-
χεν ἡμῖν ἱκανὰ, τοῖς δὲ σώμασιν ἦμεν δυνατοὶ, οὐ-
δὲ οὕτως ἔδει πολεμεῖν. εἰ δὲ μήτε διότι, μήτε ὅτοι- 27.
σι, μήτε ἀφ' ὅτου πολεμήσομεν, ἐςὶ, πῶς οὐκ ἐκ
παντὸς τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν; σκέψα-
σθε δὲ, ὦ Ἀθηναῖοι, καὶ τόδε, ὅτι νυνὶ πᾶσι τοῖς
Ἕλλη-

19 b. malim ναυπηγεῖσθαι.

20. καὶ κεκτῆσθαι] malim haec duo vocabula prorsus abesse, aut sic legi καὶ ἄλλας (vel ἄλλως) κεκτῆσθαι.

21. ἐγκτήματα] sic de meo dedi, *possessiones in alieno fundo* pro vetusta lectione vitiosa ἐγκλήματα.

22. δοκεῖ] vitium hic subest procul dubio. aut enim δοκεῖ ἡ πόλις leg. est, aut δοκεῖτε, aut δοκοῦμεν.

30. Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν ποιεῖτε. ἐνθυμήθητε ἓν τῶν πόλεων τὰς μεγίστας τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν [23] Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς συμμά-
33. χοις πολεμεῖν, ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· νῦν δ' αὖτως [24] ἐκ τῆς εἰρήνης ἑβδέτερον τέτων ὑπάρχει, καὶ ὑφ' ἡμῶν [25] ἀναγκαζόμενοι ταῦτ' ἀφίασιν· ἀλλ' ἐπ' ἐλευθερίᾳ πάσης τῆς Ἑλλάδος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι· τότε
36. μὲν, ἐν Κορίνθῳ πάντας πανδημεὶ τὲς συμμάχους παρόντας, ἐχ ὑπολιπόντες πρόφασιν ἐδεμίαν, ἀλλ' [26] ἐν τῷ κρατισεύειν μόνοι πάντων. αὖθις δὲ Βοιωτὲς, ὅτ' αὐτῶν [27] Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο [28]. τρίτον

23. πρῶτον μὲν] respondet Βοιωτοὶ δὲ verſ. pen.

24. νῦν δ' αὖτως] malim νῦν δ' αὐτοῖς.

25. καὶ ὑφ' ἡμῶν] imo vero καὶ ἐχ ὑφ' ἡμῶν. *neque remittunt iſta a nobis coacti.*

26. ἀλλ' videtur aut delendum, aut deeſſe aliquid. Neutrum ſi probamus, ſic erit accipiendum, ac ſi dixiſſet, ἀλλὰ ἐνίκων πάντας τὲς ἀντιτεταγμένες διὰ τὸ κρατισεύειν μόνοι πάντων.

27. αὐτῶν] redit ad remotius, Lacedaemonios puta, non ad propius, Boeotos.

28. τὸν αὐτὸν τρόπον καὶ ὅτε τὴν νίκην ἐποιήσαντο] videtur ſic leg. τὸν αὐτὸν τρόπον, [ſcil. ἐνίκων] ὃν [ſcil. ἐνίκων] καὶ ὅτε τὴν προτέραν νίκην ἐποιήσαντο. Boeotos eodem modo vincebant, quo tum vicerant, cum priorem victoriam reportaſſent. Verumtamen offendor nonnihil dictione νίκην ποιεῖσθαι.

δ' ἡνίκα Λέχαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας[29]. 39.
τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι, τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι, τὴν ἑαυτῶν ἔχοντες οἱ ἐνίκων μαχόμενοι[30], καὶ τὰς πόλεις αὐτονόμους εἶναι, καὶ τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ 42.
μίαν μόνην μάχην ἡττήθησαν; Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα Ὀρχομενοῦ, ὡς ἂν ἐπιτρέψοντες αὐτόνομον εἶναι. νῦν δὲ τεθνεώτων μὲν αὐτοῖς ἀνδρῶν τοσού- 26.1.
τῶν τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται· πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφέντες αὐτόνομον, 3.
τὴν εἰρήνην ποιοῦνται. καὶ ταῦτα μάτην πεπόνθασιν. ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους, εἰρήνην ἄγειν. ἔτοι δ' αὖ[31] τούτῳ τῷ τρό-

29. τοὺς παρόντας] subaudi ἐνίκων. Prima victoriarum ab Andocide hic commemoratarum videtur illa ad Nemeam fuisse, de qua v. Simsoni Chronicon ad A. M. 3601. p. 801. col. a. secunda ad Coroneam, de qua idem p. 803. de tertia v. idem p. 805.

30. τὴν ἑαυτῶν ἔχοντες οἱ ἐνίκων μαχόμενοι] valde vereor, ne nonnulla hic desint. E vulgatis, vt sunt, hanc vtcunque sententiam exsculpo. contenti, si solum suum imposterum tenere sinantur, neque ad principatum Graeciae adspirantes, quamuis tot praeliis aduersarios vicissent.

31. οὔτοι δ' αὖ] malim οὔτοι μὲν οὖν.

τῷ τρόπῳ τὸν πόλεμον καταλύονται. ἡμῖν δὲ, ὦ Ἀ-
6. θηναῖοι, πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι; ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας; καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται παραιτεῖται. τὰ γὰρ ὄντα λέξω. πρῶτον μὲν γὰρ ἡνίκα ἀπωλέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ, καὶ τειχήρεις ἐγενόμεθα, τίνα γνώ-
